ταττεν εἰς τὴν ἐπιστολὴν, καὶ τοὺς ὑφ' ἑκατέρων ῥηθέν-
τας λόγους· ἅμα μὲν ὑπολαμβάνων, ὑπερδέξιος φα- 2
νήσεσθαι τοῖς δικαίοις, ἅμα δὲ βουλόμενος ἀπόπειραν
λαμβάνειν τῆς ἑκάστων προαιρέσεως. Πρὸς μὲν οὖν 3
τοὺς ἄλλους δι' αὐτῶν τῶν γραμματοφόρων ἔπεμπε
τὰς ἐπιστολάς· εἰς δὲ τὴν Ῥόδον καὶ πρεσβευτὰς συνα-
πέστειλεν, Ἀντήνορα καὶ Φίλιππον. οἳ καὶ παρα- 4
γενηθέντες τὰ γεγραμμένα τοῖς ἄρχουσιν ἀπέδωκαν,
καὶ μετά τινας ἡμέρας ἐπελθόντες ἐπὶ τὴν βουλὴν
παρεκάλουν τοὺς Ῥοδίους, κατὰ μὲν τὸ παρὸν ἡσυ-
χίαν ἔχειν, ἀποθεωροῦντας τὸ γιγνόμενον· ἐὰν δὲ Ῥω- 5
μαῖοι παρὰ τὰς συνθήκας ἐγχειρῶσι τὰς χεῖρας ἐπι-
βάλλειν τῷ Περσεῖ καὶ Μακεδόσιν, πειρᾶσθαι διαλύειν.
τοῦτο γὰρ πᾶσι μὲν συμφέρειν, πρέπειν δὲ μάλιστα 6
Ῥοδίοις. Ὅσῳ γὰρ πλεῖον ὀρέγονται τῆς ἰσηγορίας 7
καὶ παῤῥησίας, καὶ διατελοῦσι προστατοῦντες οὐ μόνον
τῆς αὑτῶν, ἀλλὰ καὶ τῆς τῶν ἄλλων Ἑλλήνων ἐλευ-
θερίας· τοσούτῳ καὶ τὴν ἐναντίαν προαίρεσιν μάλιστα

[l] Abest particula μὲν a Bav. [m] Verba τῶν Ἑλλήνων, ante quæ *notam lacunæ* posui, abundare censuit Urs. et in vers. Lat. omisit Casaub. Mihi utique intercidisse non nihil videtur; nempe, *ad varios Græciæ populos epistolas ad unum idemque exemplar descriptas misisse Perseum.*

(III.) *Legatio LXV.*

*

IV. *Perseus*, post colloquium cum Romanis habitum, * * Græcorum, omnia suæ caussæ jura, et quæ ab utraque parte dicta fuerant, in epistola exposuit: simul quia futurum arbitrabatur, ut superior fuisse in disceptatione videretur; simul quod cupiebat omnium animos tentare. Et ad alias quidem civitates per tabellarios dumtaxat epistolas illas misit; *Rhodum* vero legatos etiam ire jussit, Antenorem et Philippum. Qui ubi eo ventum, literas magistratibus tradunt: deinde post paucos dies in senatum veniunt, a Rhodiisque petunt, ut *in præsentia quidem nihil moveant, sed, quid geratur, velut e specula prospiciant; verum si Romani contra fœderis leges Perseum et Macedones adgrediantur lacessere, pacem ut conciliare inter ipsos conentur. Id enim ut fiat, interesse omnium, et Rhodiis præcipue convenire. Nam quo plus ipsi, quam ceteri, æquabilitati juris et libertati studeant; (ut qui non suæ tantum libertatis sint custodes ac vindices, sed et reliquorum etiam Græcorum:) eo diligentius providere, sibique pro virili cavere debere, ne ad*

δεῖν αὐτοὺς [n]προορᾶσθαι καὶ φυλάττεσθαι κατὰ δύνα- A. U. 582.
8 μιν. Ταῦτα καὶ [o]πλείω τούτοις παραπλήσια δια- Romanis
λεχθέντων τῶν πρέσβεων, ἤρεσκε μὲν ἅπασι τὰ λεγό- fidem servant
9 μενα· προκατεχόμενοι δὲ τῇ πρὸς Ῥωμαίους εὐνοίᾳ, Rhodii.
καὶ νικῶντος αὐτοῖς τοῦ βελτίονος, τ' ἄλλα μὲν ἀπε-
δέξαντο φιλανθρώπως τοὺς πρεσβευτὰς, ἠξίουν δὲ τὸν
Περσέα διὰ τῆς ἀποκρίσεως, εἰς μηδὲν αὐτοὺς παρα-
καλεῖν τοιοῦτο, ἐξ οὗ φανήσονται πρὸς τὴν Ῥωμαίων
10 ἀντιπράττοντες βούλησιν. Οἱ δὲ περὶ τὸν Ἀντήνορα
τὴν μὲν ἀπόκρισιν οὐκ ἔλαβον, τὴν δὲ λοιπὴν φιλανθρω-
πίαν ἀποδεξάμενοι τὴν Ῥοδίων, ἀπέπλευσαν εἰς τὴν
Μακεδονίαν.

(IV.) Bœotos *tentat* Perseus.



V. Περσεὺς πυνθανόμενος, ἔτι τινὰς τῶν ἐν τῇ Βοιω-
τίᾳ πόλεων ἀντέχεσθαι τῆς πρὸς αὐτὸν εὐνοίας, Ἀντί-
2 γονον ἐξαπέστειλε τὸν Ἀλεξάνδρου, πρεσβευτήν. ὃς καὶ
παραγενόμενος εἰς Βοιωτοὺς, τὰς μὲν ἄλλας πόλεις
παρῆκε, διὰ τὸ μηδεμίαν ἀφορμὴν λαμβάνειν ἐπιπλο-
3 κῆς· εἰς δὲ Κορώνειαν, [p]καὶ Θήβας, ἔτι δ' Ἁλίαρτον
εἰσελθὼν, παρεκάλεσε τοὺς ἀνθρώπους, ἀντέχεσθαι τῆς

[n] προορᾶσθαι scribere jussit Gronov. idque jam in vers. expresserat Casaubonus. Vulgo προαιρεῖσθαι. [o] Vocab. πλιίω ignorat Bav. [p] Verba καὶ Θήβας suspecta habuit Casaub. et in vers. Lat. omisit. Imo vero paulo post, ubi *l.cunæ notam* posui, perperam nonnihil prætermisit Epitomator, ex Livio supplendum.

contraria consilia trahi se patiantur. Hæc et similia his plura quum disseruissent legati, etsi placebat omnibus eorum oratio; quia tamen præoccupati benevolentia Romanorum animi erant, et partis melioris auctoritas vincebat, ceteris quidem rebus comes se erga legatos exhibent; ceterum responsi loco *Perseum* rogant, *ne quid hujusmodi a se postularet, unde possint existimari voluntati Romanorum contrarium aliquid facere.* Antenor responsum quidem non accepit; verum reliqua Rhodiorum civilitate et humanitate usus, in Macedoniam est reversus.

(IV.) *Legatio LXVI.*



v. Quum esset relatum *Perseo*, nonnullas e civitatibus Bœotiæ in suscepta erga se benevolentia adhuc perstare, legatum eo misit Antigonum, Alexandri filium. Qui in Bœotiam ubi venit, ceteras quidem civitates, quod nullam occasionem jungendæ cum iis societatis inveniret, prætermisit; *Coroneam* vero et *Thebas* atque *Haliartum* adiit, et ut *ab amicitia Macedonum ne discederent,*

Ol. 152. 1. Coronæi et Haliartii favent Perseo.

πρὸς Μακεδόνας εὐνοίας. * * Τῶν δὲ προθύμως ἀποδε- 4
χομένων τὰ λεγόμενα, καὶ πρεσβευτὰς ψηφισαμένων
πέμπειν εἰς Μακεδονίαν· οὗτος μὲν ἀπέπλευσε, καὶ
συμμίξας τῷ βασιλεῖ διεσάφει τὰ κατὰ τὴν Βοιωτίαν.
Παραγενομένων δὲ καὶ τῶν πρεσβευτῶν μετ᾽ ὀλίγον, καὶ 5
παρακαλούντων βοήθειαν ἐκπέμψαι ταῖς πόλεσι, ταῖς
αἱρουμέναις τὰ Μακεδόνων· τοὺς γὰρ Θηβαίους, βαρεῖς 6
ὄντας, ἐπικεῖσθαι καὶ παρενοχλεῖν αὐτοὺς, διὰ τὸ μὴ
βούλεσθαι συμφρονεῖν σφίσιν, μηδ᾽ αἱρεῖσθαι τὰ Ῥω-
μαίων· ἅπερ ὁ Περσεὺς διακούσας, βοήθειαν μὲν οὐδα- 7
μῶς, ἔφη, δύνασθαι πέμπειν οὐδενὶ διὰ τὰς ἀνοχάς·
καθόλου δ᾽ αὐτοὺς παρεκάλει, Θηβαίους μὲν ἀμύνα- 8
σθαι κατὰ δύναμιν, Ῥωμαίοις δὲ μὴ πολεμεῖν, ἀλλὰ
τὴν ἡσυχίαν ἔχειν.

(V.) Rhodii *fidem servant Romanis.*

* * *

C. Lucretius prætor, per aliptam Rhodiis mittit literas.

VI. [q]Γάϊος, ἔτι περὶ τὴν Κεφαλληνίαν ὁρμῶν, ἐξέ-
πεμψε τοῖς Ῥοδίοις γράμματα περὶ πλοίων ἐξαποστο-
λῆς, συνθεὶς τὴν ἐπιστολὴν ἀλείπτῃ τινὶ Σωκράτει.
Παραγενομένων δὲ τῶν γραμμάτων εἰς τὴν Ῥόδον, 2
Στρατοκλέους πρυτανεύοντος τὴν δευτέραν ἔκμηνον, καὶ
τοῦ διαβουλίου προτεθέντος· τοῖς μὲν περὶ τὸν Ἀγα- 3

[q] Desideratur hæc Ecloga in Bav. Videtur autem utique postponenda fuisse ei quæ sequitur.

cives est hortatus. Qui propensis animis ejus orationem quum excepissent, et legatos in Macedoniam mittendos decrevissent; abit Antigonus, et ad Perseum reversus, quid in Bœotia egisset, illi exposuit. Nec multo post adsunt legati, *præsidium mitti* petentes *ad illas civitates, quæ sectam Macedonum sequerentur: imminere enim illis infestos Thebanos, et molestias exhibere, quod secum in suscipiendis Romanorum partibus consentire nollent.* Horum postulatis *Perseus* respondit: *præsidium quidem se propter inducias cum Romanis factas mittere non posse: ceterum suadere, ut a Thebanorum quidem injuriis, quibus possent rationibus, sese vindicarent; cum Romanis vero ne bellum susciperent, sed pacem cum iis colerent.*

(V.) *Legatio LXVII.*

* * *

VI. *Caius Lucretius*, dum circa Cephalleniam stabat classis, per literas cum *Rhodiis* egit, naves sibi mitti petens, eamque epistolam Socrati *aliptæ* tradidit perferendam. Hæc Rhodum illo tempore est perlata, quo posterioris semestris *Stratocles* Prytanis erat. Quum ea de re consultatio haberetur,

θάγητον καὶ Ῥοδοφῶντα καὶ Ἀστυμήδην καὶ ἑτέροις A. U. 583.
πλείοσιν ἐδόκει πέμπειν τὰς ναῦς, καὶ συνάπτεσθαι
τῆς ἀρχῆς εὐθέως τοῦ πολέμου, μηδεμίαν πρόφασιν
4 ποιουμένους. Οἱ δὲ περὶ τὸν [r] Δείνωνα καὶ Πολυάρατον, Dino et Polyaratus favent Perseo.
δυσαρεστοῦντες μὲν καὶ τοῖς ἤδη γεγονόσιν φιλανθρώποις
πρὸς Ῥωμαίους, τότε δὲ προθέμενοι τὸ τοῦ βασιλέως
Εὐμένους πρόσωπον, ἤρξαντο λυμαίνεσθαι τὴν τῶν πολλῶν
5 προαίρεσιν. Ὑπαρχούσης γὰρ τοῖς Ῥοδίοις ὑποψίας Eumenes suspectus Rhodiis.
καὶ διαφορᾶς πρὸς τὸν Εὐμένη, πάλαι μὲν ἐκ τοῦ
πολέμου τοῦ πρὸς Φαρνάκην, ὅτε, τοῦ βασιλέως Εὐ-
μένους ἐφορμοῦντος ἐπὶ τοῦ κατὰ τὸν Ἑλλήσποντον
στόματος, χάριν τοῦ κωλύειν τοὺς πλέοντας εἰς τὸν
Πόντον, ἐπελάβοντο τῆς ὁρμῆς αὐτοῦ καὶ διεκώλυσαν
6 Ῥόδιοι· μικροῖς δ' ἀνώτερον χρόνοις ἐκ τῶν Λυκιακῶν
ἀναξαινομένης τῆς διαφορᾶς ἔκ τινων ἐρυμάτων καὶ
χώρας, ἣν συνέβαινε κεῖσθαι μὲν ἐπὶ τῆς ἐσχατιᾶς τῆς
τῶν Ῥοδίων Περαίας, κακοποιεῖσθαι δὲ συνεχῶς διὰ τῶν
7 ὑπ' Εὐμένει ταττομένων· ἐκ πάντων [s] δὲ τούτων εὐηκόως
διέκειντο πρὸς πᾶν τὸ λεγόμενον κατὰ τοῦ βασιλέως.
8 Διὸ ταύτης ἐπιλαβόμενοι τῆς ἀφορμῆς οἱ περὶ τὸν Ridetur aliptes.
Δείνωνα, διέσυρον τὴν ἐπιστολὴν, φάσκοντες, οὐ παρὰ
Ῥωμαίων αὐτὴν ἥκειν, ἀλλὰ παρ' Εὐμένους, θέλοντος
αὐτοῦ ἐκείνους κατὰ πάντα τρόπον [t] ἐκβιβάζειν εἰς τὸν

[r] Δείνωνα correxi. Vulgo h. l. et paullo post rursus Δίνωνα. [s] δὴ malim.
[t] ἐμβιβάζειν voluit Reisk.

Agathageto quidem et Rhodophonti et Astymedi ac pluribus aliis placebat, ut sine ulla tergiversatione naves mitterent Rhodii, et ut jam inde a principio belli cum Romanis sese jungerent. At *Dino et Polyaratus*, quibus ne illa quidem probabantur, quæ antea Romanorum ad gratiam fuerant decreta, interposita tunc Eumenis persona, alienare animos multitudinis cœperunt. Quippe suspectus vulgo regis *Eumenis* animus erat, quicum et controversiam aliquam habebant; partim ob veterem caussam ex bello contra Pharnacem, cum, Hellesponti fretum suis navibus obsidente Eumene, ne cui navi in Pontum transitus pateret, Rhodii se opposuerunt, et conatum ipsius impedierunt; partim quod paucis ante annis occasione Lyciaci belli recruduerant inter ipsos odia propter castella quædam et agrum, qui in extremis finibus situs oppositæ continentis Rhodiorum, (Peræam vulgo nominant) ab iis, qui sub Eumene erant, quotidie infestabatur. Quas omnes ob caussas cupidis auribus universa admittebant, quæ contra regem dicerentur. Hac arrepta ansa, *Dino* epistolam ludibrio habere, cum diceret, *non a Romanis eam fuisse missam, sed ab Eumene, qui id omni studio ageret, ut ad bellum ipsos trahe-*

Ol. 152. 1.

πόλεμον, καὶ προσάπτειν τῷ δήμῳ δαπάνας καὶ κακο-
παθείας οὐκ ἀναγκαίας. καὶ μαρτύριον ἐποίουν τῆς 9
ἑαυτῶν ἀποφάσεως τὸ παραγεγονέναι φέροντα τὴν ἐπι-
στολὴν ἀλείπτην τινὰ, καὶ τοιοῦτον ἄνθρωπον· οὐκ
εἰωθότων τοῦτο ποιεῖν Ῥωμαίων, ἀλλὰ καὶ λίαν μετὰ
πολλῆς σπουδῆς καὶ προστασίας διαπεμπομένων ὑπὲρ

Frustra Rhodios sollicitat Dino.

τῶν τοιούτων. Ἔλεγον δὲ ταῦτα, καλῶς μὲν εἰδότες, 10
ὅτι συμβαίνει γεγράφθαι τὴν ἐπιστολὴν ὑπὸ τοῦ Λου-
κρητίου, βουλόμενοι δὲ τοὺς πολλοὺς διδάσκειν, μηδὲν
ἐξ ἑτοίμου ποιεῖν Ῥωμαίοις, ἀλλ' ἐν πᾶσι δυσχρηστεῖν
καὶ διδόναι προσκοπῆς καὶ δυσαρεστήσεως ἀφορμάς.
Ἦν γὰρ τὸ προκείμενον αὐτοῖς, ἀπὸ μὲν τῆς πρὸς 11
Ῥωμαίους εὐνοίας ἀλλοτριοῦν τὸν δῆμον, εἰς δὲ τὴν τοῦ
Περσέως φιλίαν ἐμπλέκειν, καθόσον οἷοί τ' ἦσαν. Συνέ- 12
βαινε δὲ, τοὺς προειρημένους οἰκείους ὑπάρχειν, διὰ τὸ
τὸν μὲν Πολυάρατον, ἀλαζονικώτερον ὄντα καὶ κενόδο-
ξον, ὑπόχρεων πεποιηκέναι τὴν οὐσίαν· τὸν δὲ Δείνωνα,
φιλάργυρον ὄντα καὶ θρασὺν, ἐξ ἀρχῆς οἰκεῖον εἶναι τῆς

Naves Romanis mittunt Rhodii.

ἐκ τῶν [u] δυνατῶν καὶ βασιλέων ἐπανορθώσεως. Ἐφ' οἷς 13
Στρατοκλῆς ὁ Πρύτανις ἐπαναστὰς, καὶ πολλὰ μὲν
κατὰ τοῦ Περσέως εἰπὼν, πολλὰ δὲ περὶ Ῥωμαίων ἐπ'
ἀγαθῷ, παρώρμησε τοὺς πολλοὺς εἰς τὸ κυρῶσαι τὸ
ψήφισμα, τὸ περὶ τῆς ἐξαποστολῆς τῶν πλοίων. καὶ 14

[u] δυναστῶν suspicatus est Gronov.

ret, ac populo impensas et molestias non necessarias conciliaret. Confirmandæ suæ sententiæ argumentum hoc adferebat, *quod ea epistola ab alipta, nescio quo, vilis hoc genus sortis homine, adlata Rhodum fuisset; quum nequaquam id sit moris Romanorum, qui ad perferendos ejusmodi nuncios vel præcipuæ dignationis viros magno studio deligere soleant.* Hæc autem ille et *Polyaratus* dicebant, non quod ignorarent, eam epistolam a Lucretio fuisse scriptam; nam id probe sciebant: sed ut multitudini persuaderent, ne ulla in re faciles se erga Romanos præberent, sed in omnibus lentos ac difficiles, quo offensionum et simultatis caussæ nascerentur. Id enim compositum ipsis erat, ut, quantum possent, ab Romanis populi Rhodii animos abalienarent, et Perseo conciliarent. Caussæ autem, cur Perseo dicti viri faverent, erant, quod *Polyaratus* quidem, homo ad ostentationem et inanem gloriam comparatus, contracto ære alieno, bona sua omnia creditoribus opposuerat; *Dino* vero, avaritiæ deditus atque audax, jam a prima vitæ institutione rei familiari, potentum et regum largitionibus augendæ, studuerat. Adversus istos quum Prytanis *Stratocles* sese comparasset, et multa contra Perseum disseruisset, Romanos e contrario multis laudasset, Rhodios pervicit, ut decretum de mittendis navibus sanciretur. Itaque sex triremibus extemplo

παραυτίκα καταρτύσαντες τριήρεις ἕξ, πέντε μὲν ἐξα- A. U. 583.
πέστειλαν ἐπὶ Χαλκίδος, ἡγεμόνα συστήσαντες ἐπ'
αὐτῶν [x]Τιμαγόραν· τὴν δὲ μίαν εἰς Τένεδον, ἐφ' ἧς
15 ἄρχων ἐπέπλει Τιμαγόρας. Ὃς καὶ καταλαβὼν ἐν
Τενέδῳ Διοφάνην, ἀπεσταλμένον ὑπὸ τοῦ Περσέως πρὸς Diophanes.
Ἀντίοχον, αὐτοῦ μὲν οὐκ ἐγενήθη κύριος, τοῦ δὲ πλη-
16 ρώματος. Ὁ δὲ Λουκρήτιος, πάντας ἀποδεξάμενος
φιλανθρώπως τοὺς κατὰ θάλατταν παραγεγονότας συμ-
μάχους, ἀπέλυσε τῆς χρείας, φήσας, οὐ προσδεῖσθαι
τὰ πράγματα τῆς κατὰ θάλατταν βοηθείας.

(VI.) *Macedones Italia pulsi.*

✻

VII. Οἱ Ῥωμαῖοι τῶν ἀπὸ τῆς Ἀσίας παραγεγονό-
των πρεσβευτῶν διακούσαντες, τά τε κατὰ τὴν Ῥόδον,
[y]καὶ τὰ κατὰ τὰς ἄλλας πόλεις, προσεκαλέσαντο τοὺς Solon et
2 παρὰ τοῦ Περσέως πρεσβευτάς. Οἱ δὲ περὶ τὸν Σό- Hippias, legati
λωνα καὶ τὸν Ἱππίαν ἐπειρῶντο μὲν καὶ περὶ τῶν ὅλων Persei.
λέγειν τι, καὶ παραιτεῖσθαι τὴν σύγκλητον· τὸ δὲ
πλέον ἀπελογοῦντο περὶ τῆς ἐπιβουλῆς τῆς κατὰ τὸν
3 Εὐμένη. Ληξάντων δὲ τῆς δικαιολογίας αὐτῶν, πάλαι
προδιειληφότες ὑπὲρ τοῦ πολεμεῖν, προσέταξαν αὐτοῖς
ἐκ μὲν τῆς Ῥώμης εὐθέως ἀπαλλάττεσθαι, καὶ τοῖς Edictum
ἄλλοις ἅπασι Μακεδόσιν, ὅσοι παρεπιδημοῦντες ἔτυχον· senatus.

[x] Τιμαγόρας suspectum h. l. nomen. Ex ingenio Casaubonus *Timagoras alter.* [y] Abest τὰ a Bav.

instructis, Chalcidem quinque miserunt duce Timagora, unam Tenedum, cui præfectus est Timagoras alter. Hic inventum in Tenedo *Diophanem*, qui a Perseo ad Antiochum fuerat missus, ipsum quidem capere non potuit, sed sociorum navalium compos est factus. *Lucretius*, omnibus sociis, quorum naves convenerant, benigne exceptis, opera eorum non est usus, nihil opus esse dicens in præsenti maritimis auxiliis.

(VI.) *Legatio LXVIII.*

✻

VII. *Romani*, legationibus auditis, quæ ex Asia venerant, Rhodiorum et reliquarum civitatum statu cognito, *legatis Persei* senatum præbuerunt. Tum igitur Solon atque Hippias de universis quidem rebus dicere, et patrum iram deprecari sunt conati; præcipua tamen cura *insidiarum Eumeni factarum* crimen defensum. Postquam perorassent, *senatus*, qui bellum jam ante decreverat, *denunciavit* eis, *ut et ipsi, et quicumque e gente Macedonum Romæ tum forte adessent, extemplo mœnibus urbis, Italia intra trigesimam*

Ol. 152. 1. ἐκ δὲ τῆς Ἰταλίας ἐν τριάκονθ' ἡμέραις ἐκχωρεῖν.
Μετὰ δὲ ταῦτα τοὺς ὑπάτους ἀνακαλεσάμενοι παρ- 4
ώρμων ἔχεσθαι τοῦ καιροῦ, καὶ μὴ καθυστερεῖν.

(VII.) *Prælio victor Perseus, frustra pacem petit a Romanis.*

* * *

Perseus ex concilii sententia,

VIII. Μετὰ τὴν νίκην τῶν Μακεδόνων, συνεδρίου
παρὰ τῷ Περσεῖ συναχθέντος, ὑπέδειξάν τινες τῶν
φίλων, διότι δεῖ πρεσβείαν πέμψαι τὸν βασιλέα πρὸς
τὸν στρατηγὸν τῶν Ῥωμαίων· [z] ἐπιδεχόμενον ἔτι καὶ 2
νῦν, ὅτι καὶ φόρους δώσει Ῥωμαίοις, ὅσους πρότερον
ὑπέσχετο ὁ πατὴρ καταπολεμηθεὶς, καὶ τόπων ἐκχω-
ρήσει τῶν αὐτῶν. Ἐὰν γὰρ δέξωνται τὰς διαλύσεις, 3
καλὴν ἔφασαν ἔσεσθαι τῷ βασιλεῖ τὴν ἐξαγωγὴν τοῦ
πολέμου, πεπροτερηκότι διὰ τῶν ὑπαίθρων, καὶ καθόλου
πρὸς τὸ μέλλον εὐλαβεστέρους ὑπάρξειν τοὺς Ῥωμαίους,
πεῖραν εἰληφότας τῆς Μακεδόνων ἀνδρείας, εἰς τὸ μηδὲν
ἄδικον μηδὲ βαρὺ προστάττειν Μακεδόσιν· ἐάν τε μὴ 4
δέξωνται, θυμομαχοῦντες ἐπὶ τοῖς γεγονόσιν, ἐκείνοις
μὲν δικαίως νεμεσήσειν τὸ δαιμόνιον, αὐτῷ δὲ διὰ τὴν
μετριότητα συναγωνιστὰς ὑπάρξειν τοὺς θεοὺς καὶ τοὺς
ἀνθρώπους. Ταῦτα μὲν ἐδόκει τοῖς πλείοσι τῶν φίλων. 5
Συγκαταθεμένου δὲ τοῦ Περσέως, ἐπέμποντο παρα-
χρῆμα πρεσβευταὶ, Πάνταυχος Βαλάκρου, καὶ Μήδων

legatos mittit ad Licinium Cos.

[z] Vulgo ὑποδεχ. invitis MStis.

diem excederent. Tum consules invocarunt patres conscripti, hortatique eos sunt, ut ad omnes occasiones intenti nulla in re cessarent.

(VII.) *Legatio LXIX.*

* * *

VIII. Post *victoriam Macedonum* concilium habenti *Perseo* de summa rerum, fuerunt ex ejus amicis, qui pro sententia dicerent, *oportere ut legatos rex mitteret ad consulem, et conditionem etiamnum illi offerret, eadem pendendi tributa, quæ olim pater bello devictus promisisset, iisdemque locis excedendi. Nam si his legibus pax daretur; gloriosum sibi finem bello regem impositurum, postquam patentibus campis acie victoriam esset adeptus; Romanos vero, qui Macedonum virtutem forent experti, cautiores in posterum futuros, neque iniquum aut grave quidquam imperare Macedonibus ausuros. Quod si animis magis quam viribus post cladem acceptam pertenderent, et oblatas conditiones respuerent; eorum quidem superbiam jure merito numen fore ulturum; ipsius vero moderationi deos hominesque auxiliatores futuros.* Hæc quum plerisque amicorum probaretur sententia, iisque et Perseus esset adsensus; confestim legati mittuntur, Pantauchus, Balacri

6 Βεροιεύς. Ὧν παραγενομένων πρὸς τὸν Λικίνιον, εὐθέως A. U. 583.
ὁ στρατηγὸς συνῆγε συνέδριον. τῶν δὲ πρέσβεων διασα-
φησάντων τὰ κατὰ τὰς ἐντολὰς, μεταστησάμενοι τοὺς
περὶ τὸν Πάνταυχον, ἐβουλεύοντο περὶ τῶν προσπεπτω-
7 κότων. Ἔδοξεν οὖν αὐτοῖς ὁμοθυμαδὸν, ὡς βαρυτάτην
8 δοῦναι τὴν ἀπόκρισιν. Ἴδιον γὰρ τοῦτο πάντη παρὰ Romani pervicaces in rebus adversis.
Ῥωμαίοις ἔθος καὶ πάτριόν ἐστι, τὸ κατὰ μὲν τὰς
ἐλαττώσεις αὐθαδεστάτους καὶ βαρυτάτους φαίνεσθαι,
9 κατὰ δὲ τὰς ἐπιτυχίας ὡς μετριωτάτους. Τοῦτο δὲ
διότι καλὸν, πᾶς ἂν τις ὁμολογήσειεν· εἰ δὲ καὶ δυνατὸν
10 ἐν ἐνίοις καιροῖς, εἰκότως ἄν τις ἐπαπορήσειεν. Πλὴν
τότε γε τοιαύτην ἔδωκαν τὴν ἀπόκρισιν. ἐκέλευον γὰρ
ἐπιτρέπειν τὸν Περσέα τὰ καθ' αὑτὸν, καὶ καθόλου
διδόναι τῇ συγκλήτῳ τὴν ἐξουσίαν, ὡς ἂν αὐτῇ δοκῇ,
11 βουλεύεσθαι περὶ τῶν κατὰ τὴν Μακεδονίαν. Οἱ δὲ
περὶ τὸν Πάνταυχον, ταῦτα ἀκούσαντες, ἐπανῆλθον,
12 καὶ διεσάφουν τῷ Περσεῖ καὶ τοῖς φίλοις. ὧν τινες
ἐκπληττόμενοι τὴν ὑπερηφανίαν, παρωξύνοντο, καὶ συνε-
βούλευον τῷ Περσεῖ, μήτε διαπρεσβεύεσθαι μηκέτι,
13 μήτε διαπέμπεσθαι περὶ μηδενός. Οὐ μὴν ὁ Περσεὺς Nil proficit Perseus.
τοιοῦτος ἦν, ἀλλὰ προστιθεὶς καὶ [a] εἰς τὸ πλῆθος αὐτῷ
τῶν χρημάτων, διεπέμπετο πλεονάκις πρὸς τὸν Λικίνιον.
14 Προκόπτων δ' οὐδὲν, ἀλλὰ καὶ τῶν πλείστων φίλων

[a] Præpositionem ex conject. adjeci. Pro *αὐτῷ* autem scribendum videtur *αὐτὸ* cum Reisk.

filius, et Medo Berœensis. Qui postquam ad *Licinium* venissent; consul frequens concilium ad legatos audiendos, dum mandata exponerent, adhibuit: deinde, his summotis, de re proposita consultari cœptum. Omnium ea sententia fuit, *responsum dandum quam asperrimum.* Est enim hoc *perpetui moris Romanorum*, quem a majoribus acceperunt, *acceptis detrimentis maxime pervicaces et hostibus infestos se ostendere; victoria vero parta, maxime moderatos.* Quod quidem pulcerrimum esse institutum, nemo diffiteatur: sed, id an omni tempore locum habere queat, jure aliquis dubitet. At tum quidem certe responsum ejusmodi ab illis datum: jusserunt enim *Perseum, Romanis sese permittere, atque omnino liberam senatui potestatem facere statuendi de Macedonia, quod ipsi libitum esset.* Quo responso accepto, Pantauchus et Medo ad Perseum reversi, legationem renunciarunt regi ejusque amicis. Quorum quidam, admirati superbiam, eaque re irritati, auctores Perseo fuerunt, *ne quem posthac legatum neque nuncium ulla de re ad Romanos mitteret.* At *Perseo* non ea mens fuit; qui etiam summam pecuniæ adaugens, ad *Licinium* subinde mittebat. Sed quum nihil proficeret, et plerique amici consilium reprehenderent, dicerentque, *victorem*

Ol. 152. 1. ἐπιτιμώντων αὐτῷ, καὶ φασκόντων, ὅτι νικῶν ποιεῖ τὰ
τοῦ λειπομένου καὶ τοῖς ὅλοις ἐπταικότος· οὕτως ἠναγ- 15
κάσθη, τὰς διαπρεσβείας ἀπογνοὺς, μεταστρατοπε-
δεῦσαι πάλιν ἐπὶ τὸ Συκύριον. Καὶ ταῦτα μὲν ἐπὶ 16
τούτων ἦν.

(VIII.) *Præsidium Romanum pæne opprimitur a Perseo.*

* * *

Cestrosphendone.

IX. [b]Κέστρος. ξένον ἦν τοῦτο τὸ εὕρημα κατὰ τὸν
Περσικὸν πόλεμον. Τὸ δὲ βέλος τοιοῦτον· διπάλαι- 2
στον ἦν, ἴσον ἔχον τὸν αὐλίσκον τῇ προβολῇ. τούτῳ 3
ξύλον ἐνήρμοστο, τῷ μὲν μήκει [c]σπιθαμιαῖον, τῷ δὲ
πάχει δακτυλιαίαν ἔχον τὴν διάμετρον. εἰς δὲ τούτου 4
τὸ μέσον ἐσφήνωτο πτερύγια τρία ξύλινα, βραχέα
παντελῶς. Τοῦτο, δυοῖν [d]κώλων ἀνίσων ὑπαρχόντων 5
τῆς σφενδόνης, εἰς τὸ μέσον ἐνηγκυλίζετο τῶν [d]κώλων
εὐλύτως. Λοιπὸν, ἐν μὲν τῇ περιαγωγῇ, τεταμένων 6
τούτων, ἔμενεν· ὅτε δὲ παραλυθείη θάτερον τῶν κώλων
κατὰ τὴν ἄφεσιν, ἐκπίπτον ἐκ τῆς ἀγκύλης, καθαπερεὶ
μολυβδὶς ἐκ τῆς σφενδόνης, ἐφέρετο· καὶ προσπίπτον 7
μετὰ βιαίας πληγῆς, κακῶς διετίθει τοὺς συγκυρήσαντας.

[b] Κεστροσφενδόνη videtur scribendum ex Livio. [c] σπιθαμιαῖον ex conject. correxi. Vulgo σπιθαμιαίαν. [d] κώλων correxi, admonente Lipsio. Vulgo κάλων.

ipsum facere, quæ victum aliquem fractis rebus deceat; tum demum, posita spe rei per legationes conficiendæ, ad *Sycurium* rursus, unde erat profectus, castra movere est coactus. Atque hæc quidem ita se habebant.

(VIII.) *Apud Suidam, in* Κέστρος.

* * *

VIII. *Cestrus* [vel *Cestrosphendone.*] Novum hoc inventum erat bello Persico; telum vero hujusmodi. Bipalme erat, tubulum habens æqualem prominenti ferro. Huic insertum erat hastile, longitudinem habens spithamæ, crassitiem vero digiti: cujus medio infixæ erant tres pinnulæ ligneæ, admodum breves. Hoc telum, quum duæ impares habenæ essent fundæ, in earum medio veluti amento illigabatur ita, ut facile solvi posset. Igitur, in circumactione fundæ, quum intentæ essent habenæ, immobile manebat telum. At ubi altera solvebatur habena in emissione, excussum amento suo telum, veluti glans e funda ferebatur; et cum impetu incidens, quidquid occurrisset, pessime lædebat.

(IX.) Cotys *Thrax, socius Persei.* A. U. 583.

* * *

X. Ὁ Κότυς ἦν ἀνὴρ καὶ κατὰ τὴν ἐπιφάνειαν ἀξιό- Laus viri
2 λογος, καὶ πρὸς τὰς πολεμικὰς χρείας διαφέρων· ἔτι δὲ καὶ κατὰ τὴν ψυχὴν πάντα μᾶλλον ἢ Θρᾷξ ὤν.
3 καὶ γὰρ νήπτης ὑπῆρχε, καὶ πρᾳότητα καὶ βάθος ὑπέφαινεν ἐλευθέριον.

(X.) Perseus *captivos redimit a Rhodiis.*

* * *

XI. Κατὰ τὸν καιρὸν, ἡνίκα Περσεὺς ἐκ τοῦ πολέμου Diophanis [e] τοῦ πρὸς Ῥωμαίους ἀπελύθη, Ἀντήνορος παραγενο- socii navales. μένου παρὰ τοῦ Περσέως περὶ τῆς τῶν αἰχμαλώτων διαλυτρώσεως τῶν μετὰ Διοφάνους πλεόντων, ἐνέπεσε μεγάλη τοῖς πολιτευομένοις ἀπορία, περὶ τοῦ, τί δέον
2 εἴη ποιεῖν. Τοῖς μὲν γὰρ περὶ τὸν Φιλόφρονα καὶ Θεαίτητον οὐδαμῶς ἤρεσκε προσδέχεσθαι τὴν τοιαύτην ἐπιπλοκήν· τοῖς δὲ περὶ τὸν Δείνωνα καὶ Πολυάρατον Dino et
3 ἤρεσκε. Καὶ τέλος ἐποιήσαντο διάταξιν πρὸς τὸν Περ- Polyaratus. σέα περὶ τῆς τῶν αἰχμαλώτων διαλυτρώσεως.

[e] Abest h. l. τοῦ a Bav.

(IX.) *Excerptum Valesianum.*

* * *

x. Erat *Cotys* cum specie ipsa, tum militari fortitudine insignis. Præterea ingenio prorsus Thracum dissimilis: quippe sobrietatem et humanitatem et liberalem quamdam prudentiam præ se ferebat.

(X.) *Legatio LXX.*

* * *

xi. Quo tempore liberatus est Perseus bello contra Romanos, quum venisset Rhodum Antenor missu Persei ad redimendos captivos, qui cum Diophane navigaverant; magnopere hæsitatum est ab iis, qui rempublicam administrabant, quid opus esset facto. Nam Philophroni et Theæteto nullo placebat modo, ut Rhodii Persei rebus se immiscerent; *Dinoni* contra et *Polyarato* id placebat. Ac tandem facta est cum Perseo super captivorum redemtione conventio.

Ol. 152. 1.

II.

RES ÆGYPTI.

* * *

Ptolemæus, Cypri præfectus, fidus regi Ptolemæo Philomet.

XII. ΠΤΟΛΕΜΑΙΟΣ, ὁ στρατηγὸς ὁ κατὰ Κύπρον,
οὐδαμῶς Αἰγυπτιακὸς γέγονεν, ἀλλὰ νουνεχὴς, καὶ
πρακτικός. Παραλαβὼν γὰρ τὴν νῆσον, ἔτι νηπίου τοῦ 2
βασιλέως ὄντος, [f]ἐγίγνετο μὲν ἐπιμελῶς περὶ συναγωγὴν
χρημάτων, ἐδίδου δ' ἁπλῶς οὐδὲν οὐδενὶ, καίπερ αἰτού-
μενος πολλάκις ὑπὸ τῶν βασιλικῶν διοικητῶν, καὶ
καταλαλούμενος πικρῶς [g]ἐν τῷ μηδὲν προΐεσθαι. Τοῦ 3
δὲ βασιλέως εἰς ἡλικίαν παραγεγονότος, συνθεὶς πλῆθος
ἱκανὸν χρημάτων ἐξαπέστειλεν. ὥστε καὶ τὸν Πτολε- 4
μαῖον αὐτὸν [h]καὶ τοὺς περὶ τὴν αὐλὴν εὐδοκῆσαι τῇ
πρότερον αὐτοῦ συστολῇ καὶ τῷ μηδὲν προΐεσθαι.

III.

BELLUM PERSICUM.

(I.) CEPHALUS *Epirota deficit ad Perseum.*

Ol. 152. 2. A. U. 584. Charops senior, Epirota.

* * *

XIII. ΚΕΦΑΛΟΣ ἧκεν ἐξ Ἠπείρου, ἔχων μὲν καὶ πρότερον ἤδη σύστασιν πρὸς τὴν Μακεδόνων οἰκίαν, τότε δὲ διὰ τῶν πραγμάτων ἠναγκασμένος αἱρεῖσθαι τὰ τοῦ

[f] Suidas ἐγένετο μὲν ἐπιμελής. [g] ἐπὶ malim cum Reisk. [h] Suidas sic: καὶ τοὺς ἐπὶ τῇ πρότερον αὐτοῦ συστολῇ διαλοιδορουμένους ὕστερον ἐπαινεῖν αὐτόν.

II.

Excerptum Valesianum.

* * *

XII. *PTOLEMÆUS*, *præfectus Cypri*, nulla re Ægyptius fuit, sed prudens ac strenuus inprimis. Nam cum insulæ præfecturam rege admodum puero accepisset, cogendæ quidem pecuniæ studiose incubuit: ceterum nemini prorsus quidquam dabat, tametsi a curatoribus ac dispensatoribus regiæ pecuniæ sæpe flagitaretur, graviterque incusaretur, quod reditus insulæ penes se retineret. Sed posteaquam rex adolescentiam adtigit, collectam satis magnam pecuniæ vim *Alexandriam* misit; adeo ut et *Ptolemæus* ipse et aulici priorem illius parsimoniam ac diligentiam vehementer probarint.

III.

(I.) *Excerptum Valesianum.*

* * *

XIII. *CEPHALUS* tunc ex Epiro quoque advenit, et antiqua amicitia regiæ Macedonum domui obstrictus, et tunc ad colendas *Persei* partes ne-

Περσέως. Ἡ δ' αἰτία τοῦ συμβαίνοντος ἐγένετο τοι- A. U. [illegible]
2 αύτη. Χάροψ ἦν Ἠπειρώτης, ἀνὴρ τἄλλα μὲν καλὸς κἀγαθὸς, καὶ φίλος Ῥωμαίων· ὅς, Φιλίππου τὰ κατὰ τὴν Ἤπειρον στενὰ κατασχόντος, αἴτιος ἐγένετο τοῦ Φίλιππον μὲν ἐκπεσεῖν ἐκ τῆς Ἠπείρου, Τίτον δὲ καὶ
3 τῆς Ἠπείρου κρατῆσαι καὶ τῶν Μακεδόνων. Οὗτος Charops
4 υἱὸν ἔσχε Μαχατᾶν, οὗ Χάροψ ἐγένετο. τοῦτον, ἀντί- junior,
παιδα κατὰ τὴν ἡλικίαν ὄντα τοῦ πατρὸς μεταλλά- Romæ educatus,
ξαντος, ὁ Χάροψ μετὰ τῆς καθηκούσης προστασίας εἰς τὴν Ῥώμην ἀπέστειλε, χάριν τοῦ καὶ τὴν διάλεκτον
5 καὶ τὰ γράμματα τὰ Ῥωμαϊκὰ μαθεῖν. Τοῦτο τὸ μειράκιον, πολλοῖς σύνηθες γεγονὸς, ἐπανῆλθε μετά τινα
6 χρόνον εἰς τὴν οἰκείαν. Ὁ μὲν οὖν πρεσβύτερος Χάροψ μετήλλαξε τὸν βίον. τὸ δὲ μειράκιον, μετέωρον ὂν τῇ calumniatur
φύσει καὶ πάσης πονηρίας ἔμπλεων, [i]ἐκορώνια καὶ Antinoum et
7 παρετρίβετο πρὸς τοὺς ἐπιφανεῖς ἄνδρας. Τὰς μὲν οὖν Cephalum.
ἀρχὰς οὐδεὶς ἦν αὐτοῦ λόγος, ἀλλ' οἱ προκατέχοντες καὶ ταῖς ἡλικίαις καὶ ταῖς δόξαις, οἱ περὶ τὸν Ἀντίνουν,
8 ἐχείριζον τὰ κοινὰ κατὰ τὰς αὐτῶν γνώμας. Τοῦ δὲ πολέμου τοῦ Περσικοῦ συστάντος, εὐθέως διέβαλλε τὸ μειράκιον τοὺς προειρημένους ἄνδρας πρὸς Ῥωμαίους, ἀφορμῇ μὲν [k]χρώμενον τῇ προγεγενημένῃ συστάσει τῶν
9 ἀνδρῶν πρὸς τὴν Μακεδόνων οἰκίαν· κατὰ δὲ τὸ παρὸν πάντα παρατηροῦν, καὶ πᾶν τὸ λεγόμενον ἢ πραττό-

[i] ἐκορώνια correxit Vales. ἐν κορωνίᾳ MS. [k] χρώμενον correxi cum Reisk. Vulgo χρώμενος.

cessitate temporum compulsus, tali caussa. *Charops* quidam *Epirota* fuit, vir ceteroquin probus, et amicus populi Romani: qui, cum Philippus artissimas Epiri fauces occupavisset, unus præcipue effecerat, ut et Philippus Epiro excideret, et Titus Epiri simul ac Macedonum potiretur. Hujus ex Machata filio *Charops* nepos fuit; quem admodum adolescentem, patre orbatum avus Charops cum honesto comitatu Romam misit, quo et linguam Romanam et litteras perdisceret. Hic adolescens, Romæ plurimis familiariter usus, postmodum in patriam reversus est, quo tempore senior Charops e vita discessit. At juvenis suopte ingenio levis, omnique malitia refertus, contendere atque obtrectare viris clarissimis cœpit. Ac principio quidem nulla ejus ratio habebatur: sed *Antinous et Cephalus*, ætate et opinione civium præcellentes, rempublicam arbitratu suo administrabant. Conflato autem Persico bello, statim *Charops* illos viros apud populum Romanum criminari instituit; gratiam, quæ illis apud regiam Macedonum domum comparata erat, argumento adducens. Et omnia illorum dicta et facta tum maxime observando, atque in pejus detorquendo, nunc veri-

Ol. 152. 2.

μενον ὑπ' αὐτῶν ἐπὶ τὸ χεῖρον ἐκδεχόμενον, καὶ τὰ μὲν
ἀφαιροῦν, τὰ δὲ προστιθὲν, ἐλάμβανε πιθανότητας κατὰ
τῶν ἀνθρώπων. Ὁ δὲ Κέφαλος, τἄλλα τε φρόνιμος καὶ 10
στάσιμος ἄνθρωπος, καὶ κατὰ τοὺς καιροὺς τούτους ἐπὶ
τῆς ἀρίστης ὑπῆρχε γνώμης. εὐχόμενος γὰρ ηὔξατο 11
τοῖς θεοῖς, μὴ συστῆναι τὸν πόλεμον, μηδὲ κριθῆναι τὰ
πράγματα· πραττομένου δὲ τοῦ πολέμου, τὰ κατὰ τὴν 12
συμμαχίαν ἐβούλετο δίκαια ποιεῖν Ῥωμαίοις, πέρα δὲ
τούτου μηδὲ προστρέχειν ἀγεννῶς, μήθ' ὑπηρετεῖν μηδὲν
παρὰ τὸ δέον. Τοῦ δὲ Χάροπος ἐνεργῶς χρωμένου ταῖς 13
κατ' αὐτοῦ διαβολαῖς, καὶ [l]πᾶν ἂν παρὰ τὴν Ῥωμαίων
βούλησιν γιγνόμενον εἰς ἐθελοκάκησιν ἄγοντος· τὸ μὲν
πρῶτον οἱ προειρημένοι κατεφρόνουν, οὐδὲν αὑτοῖς συνει-
δότες ἀλλότριον [m]βουλομένοις Ῥωμαίων. Ὡς δὲ τοὺς 14
περὶ τὸν Ἱππόλοχον καὶ Νίκανδρον καὶ Λοχαγὸν εἶδον
τοὺς Αἰτωλοὺς ἀναγομένους εἰς τὴν Ῥώμην [n]ἀπὸ τῆς
ἱππομαχίας ἀλόγως, καὶ τὰς διαβολὰς τὰς ἐκ τῶν
περὶ Λυκίσκον πεπιστευμένας κατ' αὐτῶν, οἵτινες κατὰ
τὴν Αἰτωλίαν τὴν αὐτὴν αἵρεσιν ἦγον τῷ Χάροπι· τὸ
τηνικάδε προειδόμενοι τὸ μέλλον, ἐβουλεύοντο περὶ αὐ-
τῶν. Ἔδοξεν οὖν αὐτοῖς, [o]παντὸς πεῖραν λαμβάνειν, 15
ἐφ' ᾧ μὴ προέσθαι σφᾶς αὐτοὺς ἀκρίτως [[p]ὡς τούσδε]

Cephalus vir probus.

Nicander et alii Ætoli Romam abducti.

Sibi consulit Cephalus.

[l] πᾶν ἂν ex conject. scripsi. πᾶσαν MS. πᾶν τὸ voluerat Vales. [m] βουλευομένοις maluerat Reisk. [n] Sic fuit haud dubie in MS. Sed Valesius ἀπό τ' ἱππομαχίας legit edideitque, suspicatus est autem ἀπὸ Λυσιμαχίας; Reiskius vero ἀπὸ τῆς ἱππαρχίας. [o] παντὸς correxi, monente Gron. Vulgo πάντως πεῖραν. [p] Verba ὡς τούσδε ex Reiskii conject. adscivi; sed, ut non satis certa, uncis inclusi. Mendose vulgo ἀκρίτως, σώους δὲ εἰς τ. Ῥ.

tati adjiciens, nunc detrahens, auctoritatem fidemque adversus eos sibi comparavit. At *Cephalus*, vir singularis prudentiæ ac constantiæ, etiam tum in optima sententia erat. Deos enim immortales precatus fuerat, ut bellum ne conflaretur, neve de rerum summa decerneretur: sin gerendum bellum esset, statuerat ex fœderis præscripto Romanos juvare, præter fœderis autem leges nihil ultro facere, atque in nullo obsequi indecore ac turpiter. Ceterum, cum *Charops* criminationi illius acriter insisteret, et, quidquid non pro Romanis fieret, insidiose agi causaretur; initio quidem et ipse et Antinous hominem spernebant, quippe nullius sui consilii, a Romanorum societate alieni, conscii cum essent. Postea vero cum Hippolochum et Nicandrum et Lochagum Ætolos post prælium equestre sine caussa Romam perduci cernerent, et calumniis fidem adhiberi adversus eos a Lycisco sparsis, qui tunc in Ætolia eamdem sectam ac Charops instituerat; tum demum, quid sese maneret, prospicientes animo, consilium de rebus suis cepere. Statuerunt igitur, omnia sibi tentanda, neque ullatenus ferendum, ut crimi-

εἰς τὴν Ῥώμην ἐπανάγεσθαι διὰ τὰς Χάροπος διαβο- A. U. 581.
16 λάς. Οὕτω μὲν οὖν οἱ περὶ τὸν Κέφαλον ἠναγκά-
σθησαν παρὰ τὰς αὐτῶν προαιρέσεις ἑλέσθαι τὰ τοῦ
Περσέως.

(II.) A. Hostilio *Consuli insidiæ struuntur in Epiro.*

*

XIV. Οἱ περὶ Θεόδοτον καὶ Φιλόστρατον ἐποίησαν
2 ἀσεβὲς πρᾶγμα καὶ παράσπονδον ὁμολογουμένως. Πυ-
θόμενοι γὰρ, τὸν ὕπατον τῶν Ῥωμαίων Αὖλον Ὀστίλιον
παραγίγνεσθαι, κομιζόμενον εἰς Θετταλίαν ἐπὶ τὸ
στρατόπεδον, καὶ νομίζοντες, εἰ παραδοῖεν τὸν Αὖλον
τῷ Περσεῖ, μεγίστην μὲν πίστιν προσενέγκασθαι, μέ-
γιστα δ᾽ ἂν βλάψαι κατὰ τὸ παρὸν Ῥωμαίους,
3 ἔγραφον τῷ Περσεῖ συνεχῶς, ἐπισπεύδειν. Ὁ δὲ βασι-
λεὺς ἐβούλετο μὲν ἐξ αὐτῆς προάγειν καὶ συνάπτειν·
τῶν δὲ Μολοττῶν κατὰ [q] τὸν Ἀῷον ποταμὸν τὴν γέφυ- Aousamnis.
ραν κατειληφότων, ἐκωλύετο τῆς ὁρμῆς, καὶ πρῶτον
4 ἠναγκάζετο διαμάχεσθαι πρὸς τούτους. Συνέβη δὲ, τὸν
Αὖλον εἰς τοὺς [r] Φανοτεῖς παραγενόμενον καταλῦσαι
παρὰ Νέστορι τῷ Κρωπίῳ, καὶ παραδοῦναι καθ᾽ αὑτοῦ Nestor Cropius.
τοῖς ἐχθροῖς καιρὸν ὁμολογούμενον· [s] ὃν, εἰ μὴ τύχη τις
ἐβράβευσε πρὸς τὸ βέλτιον, οὐκ ἂν μοι δοκεῖ διαφυγεῖν.
5 νῦν δὲ δαιμονίως πως ὁ Νέστωρ τὸ μέλλον ὀττευσάμενος,

[q] τὸν Ἀῷον ex conject. correxi. Vulgo Λαὸν ex Valesii ingenio. Λωτὸν dabat codex. [r] Φανοτεῖς ex Valesii conject. adscivi. Vulgo Φανοσεῖς. [s] Pronomen ὃν, quod abest vulgo, adjeci monente Reisk.

nationibus Charopis constricti Romam, [sicut illi,] indicta caussa abducerentur. Ita *Cephalus* ad *Persei* partes invitus transire est coactus.

(II.) *Excerptum Valesianum.*

*

XIV. Per hoc tempus a Theodoto ac Philostrato grave ac nefarium facinus susceptum est. Nuncio enim accepto, *Aulum Hostilium*, Consulem populi Romani, in Thessaliam ad exercitum proficiscentem adventare; rati, se, si Aulum in manus Persei traderent, maximum fidei documentum regi exhibituros, ac gravissimum Romanis damnum adlaturos in præsentia esse, adsidue ad regem litteras dabant, ut muturaret iter. At rex in animo quidem habebat, illico progredi et obviam ire. Sed cum *Molossi* pontem *Aoi* fluminis intercepissent, impetus ejus retardabatur; prius enim dimicandum cum Molossis erat. At *Hostilius*, in Phanotensium urbem delatus, diversatusque apud *Nestorem Cropium*, opportunam plane adversus se insidiarum ansam hostibus præbuerat; quam nisi benignior quædam fortuna deflexisset, prorsus effugere, ut mihi quidem videtur, nullo modo poterat. Sed Nestor, mira sagacitate rem odoratus,

Ol. 152, 2. ἐξ αὐτῆς ἠνάγκασε μετελθεῖν εἰς γείτονα τῆς νυκτός.
καὶ ἀπογνοὺς τὴν διὰ τῆς Ἠπείρου πορείαν ἀνήχθη, καὶ 6
πλεύσας εἰς Ἀντίκυραν, ἐκεῖθεν ἐποιήσατο τὴν ὁρμὴν εἰς
Θετταλίαν.

IV.

RES ASIÆ.

* * *

Pharnaces. XV. ΦΑΡΝΑΚΗΣ πάντων τῶν προτοῦ βασιλέων ἐγένετο παρανομώτατος.

* * *

Attali amor in Eumenem fratrem.

Ἄτταλος, χειμάζων ἐν Ἐλατείᾳ, καὶ σαφῶς εἰδὼς 2
τὸν ἀδελφὸν Εὐμένη [t]λυπούμενον μὲν ὡς ἔνι μάλιστα,
καὶ [u]βαρυνόμενον, ἐπὶ τῷ τὰς ἐπιφανεστάτας αὐτοῦ
τιμὰς ἠθετῆσθαι ὑπὸ τῶν ἐν Πελοποννήσῳ διὰ κοινοῦ
δόγματος, ἐπικρυπτόμενον δὲ πρὸς πάντας τὴν περὶ
αὐτὸν ὑπάρχουσαν διάθεσιν· ἐπεβάλετο διαπέμπεσθαι 3
πρός τινας τῶν ἐν Ἀχαΐᾳ, σπουδάζων ἀποκατασταθῆναι
τἀδελφῷ αὐτοῦ μὴ μόνον τὰς ἀναθηματικάς, ἀλλὰ
καὶ τὰς ἐγγράπτους τιμάς. Τοῦτο δ' ἐποίει, πεπεισ- 4
μένος, μεγίστην μὲν [x]ἂν ἐκείνῳ ταύτην τὴν χάριν προσενέγκασθαι, μάλιστα δ' ἂν τὸ φιλάδελφον καὶ γενναῖον

[t] Conjunctionem ex conject. adjeci, et deinde ἐπικρυπτόμενον scripsi, pro vulgato ἐπικρυπτόμενος. [u] Vel sic vel βαρυνθέντα scribendum monuit Reisk. Perperam vulgo βαρύνοντα. [x] ἂν ἐκείνῳ ex Valesii conject. in textum recepi. ἀνακινῶν dabat codex.

confestim in proximam civitatem migrare eum noctu jussit. Ille, itinere per Epirum relicto, navibus Anticyram vectus, inde in Thessaliam contendit.

IV.

Excerpta Valesiana.

* * *

XV. *PHARNACES* omnium ex superiori memoria regum iniquissimus fuit.

* * *

Attalus, qui Elatiæ hybernabat, cum satis sciret, *Eumenem* fratrem acerbissime quidem ferre, quod universæ Peloponnesi civitates nobilissima honoris monimenta, quæ ei posita fuerant, communi decreto sustulerant; sed eumdem apud omnes, quonam esset animo, dissimulare; missis ad nonnullos Achæorum interpretibus, id agere est molitus, ut non modo imagines et statuæ, sed et decreta, honoris ejus caussa tabulis incisa, restituerentur. Id vero agebat *Attalus*, tum quia persuasum habebat, gratissimam eam rem fratri fore, tum maxime ut *amo-*

τῆς αὐτοῦ προαιρέσεως ἐναποδείξασθαι τοῖς Ἕλλησι διὰ A. U. 584.
ταύτης τῆς πράξεως.

V.
RES CRETENSIUM.

* * *

XVI. ΟΙ [[y] Κυδωνιᾶται] Κρῆτες ἀνάξιον κατὰ τὸν καιρὸν τοῦτον ἐποίησαν πρᾶγμα, δεινὸν καὶ παράσπονδον
2 ὁμολογουμένως. [z] καὶ γὰρ, πολλῶν τοιούτων γενομένων κατὰ τὴν Κρήτην, ὅμως ἔδοξεν ὑπεραίρειν τὴν συνήθειαν
3 τὸ τότε γενόμενον. Ὑπαρχούσης γὰρ [a] αὐτοῖς οὐ μόνον φιλίας, ἀλλὰ συμπολιτείας πρὸς Ἀπολλωνιάτας, καὶ καθόλου κοινωνίας πάντων τῶν ἐν ἀνθρώποις νομιζομένων δικαίων, καὶ περὶ τούτων κειμένης ἐνόρκου συνθήκης
4 παρὰ τὸν Δία τὸν Ἰδαῖον· παρασπονδήσαντες τοὺς Ἀπολλωνιάτας, κατελάβοντο τὴν πόλιν, καὶ τοὺς μὲν ἄνδρας κατέσφαξαν, τὰ δὲ ὑπάρχοντα διήρπασαν, [b] καὶ τὰς γυναῖκας καὶ τὰ τέκνα καὶ τὴν πόλιν καὶ τὴν χώραν διανειμάμενοι κατεῖχον.

Cydoniorum perfidia in Apolloniatas.

[y] Vocabulum Κυδωνιᾶται ex Diodoro Siculo inserui. [z] καὶ γὰρ correxi cum Reisk. Vulgo καίπερ. [a] αὐτοῖς οὐ μόνον ex conject. scripsi. Vulgo αὐτῆς.
[b] Adjeci conjunct. quæ vulgo desiderabatur.

rem suum erga Eumenem fratrem et magnitudinem animi hoc testimonio declararet.

V.
Excerptum Valesianum.

* * *

XVI. PER id tempus indignum facinus, fœdum et manifeste perfidum a [*Cydoniatis*] *Cretensibus* admissum est. Tametsi enim multa ejusmodi in Creta insula fieri solent, nihilominus hoc, de quo nunc sermo est, ceteris omnibus antistare visum est. Nam cum non societas solum, sed etiam commune civitatis jus cum *Apolloniatis* ipsis intercederet, ac postremo omnia jura, quæ ab hominibus sacrosancta habentur, utrisque communia essent; cum ejus fœderis tabulæ sacramento utrimque firmatæ juxta ipsum simulacrum Jovis Idæi fixæ exstarent; tamen, calcata fœderis religione, Apolloniatarum urbem occuparunt, virisque omnibus trucidatis, ac bonis eorum direptis, uxores ac liberos omnemque agrum inter se diviserunt.

Ol. 152. 2.
A. U. 584.

VI.

RES SYRIACÆ ET ÆGYPTIACÆ.

* * *

Bellum Antiochicum Ptolem. Philomet.

XVII. ΑΝΤΙΟΧΟΣ, ὁρῶν ἐκφανῶς ἤδη τοὺς κατὰ 1
τὴν Ἀλεξάνδρειαν παρασκευαζομένους εἰς τὸν περὶ
Κοίλης Συρίας πόλεμον, εἰς μὲν τὴν Ῥώμην ἔπεμψε
πρεσβευτὰς τοὺς περὶ Μελέαγρον· ἐντειλάμενος, λέγειν 2
τῇ συγκλήτῳ, καὶ διαμαρτύρασθαι, διότι παρὰ πάντα
τὰ δίκαια Πτολεμαῖος αὐτῷ τὰς χεῖρας ἐπιβάλλει·
* * [c]

* * *

Antiochus ad Pelusium.

Ἀντίοχος, ὁ βασιλεὺς, ἦν καὶ πρακτικὸς, καὶ τοῦ 3
τῆς βασιλείας ὀνόματος ἄξιος, πλὴν τῶν κατὰ τὸ Πη-
λούσιον [d] στρατηγημάτων.

[c] In fine hujus Eclogæ prætermissa ab Epitomatore ea fere puto, quæ in *vers. Lat.* conjectura nisus adjeci, uncis inclusa. [d] τοῦ κ. τ. Πηλ. στρατηγήματος legitur in Excerpt. ex Diodoro.

VI.

Legatio LXXI.

* * *

XVII. *ANTIOCHUS* (*Epiphanes*) ubi vidit, manifesto jam Alexandrinos ad *Bellum pro Cœlesyria* se comparare; *Romam* quidem *legatum* misit Meleagrum, qui ipsius nomine patribus conscriptis nunciaret, et testans fœdera diceret, *præter omne jus a Ptolemæo se invadi:* [simul vero, præventurus Ægyptios, ipse, cum exercitu profectus, in Ægyptum impressionem fecit.]

* * *

(*Excerptum Valesianum.*)

Erat rex *Antiochus* [in illa expeditione] strenuus, et regio nomine se non indignum demonstravit; si *astutiam* excipias, qua *ad Pelusium* usus est.

ΤΗΣ ΕΙΚΟΣΤΗΣ ΟΓΔΟΗΣ

ΤΩΝ ΠΟΛΥΒΙΟΥ ΙΣΤΟΡΙΩΝ

ΤΑ ΣΩΖΟΜΕΝΑ.

I.

RES IN ITALIA GESTÆ.

(I.) *Senatus datur* Legatis Antiochi Epiphanis *et* Ptolemæi Philometoris.

* * *

Ol. 152. 3. A. U. 585. Bellum pro Cœlesyria.

1. ΤΟΥ πολέμου τοῦ περὶ Κοίλης Συρίας ἤδη καταρχὴν λαβόντος Ἀντιόχῳ καὶ Πτολεμαίῳ τοῖς βασιλεῦσιν, ἧκον πρέσβεις εἰς τὴν Ῥώμην, παρὰ μὲν Ἀντιόχου, Μελέαγρος καὶ Σωσιφάνης καὶ Ἡρακλείδης· παρὰ δὲ
2 Πτολεμαίου, Τιμόθεος καὶ Δάμων. Συνέβαινε δὲ, κρατεῖν τὸν Ἀντίοχον τῶν κατὰ Κοίλην Συρίαν καὶ Antiochi jura.
3 Φοινίκην πραγμάτων. ἐξ οὗ γὰρ Ἀντίοχος, ὁ πατὴρ τοῦ νῦν λεγομένου βασιλέως, ἐνίκησε τῇ περὶ τὸ Πάνιον μάχῃ τοὺς Πτολεμαίου στρατηγοὺς, ἀπ᾽ ἐκείνων τῶν χρόνων ἐπείθοντο πάντες οἱ προειρημένοι τόποι τοῖς ἐν
4 Συρίᾳ βασιλεῦσι. Διόπερ ὁ μὲν Ἀντίοχος, ἡγούμενος τὴν κατὰ πόλεμον ἰσχυροτάτην καὶ καλλίστην εἶναι

I.

(I.) *Legatio LXXII.*

* * *

1. QUUM jam esset *inchoatum* a regibus Antiocho et Ptolemæo *bellum pro Cœlesyria*, Romam *legati* venerunt, *Antiochi* quidem, Meleager, Sosiphanes et Heraclides; *Ptolemæi* vero, Timotheus et Damon. Erat autem illo tempore Antiochus in Cœle Syria et Phœnice rerum dominus. Nam posteaquam Antiochus, pater illius, de quo nunc loquimur, regis, *ad Panium* duces Ptolemæi devicit, ex illo tempore omnia commemorata loca Syriæ regibus paruerunt. Itaque *Antiochus*, qui bello quæsitorum firmissimam atque

Ol. 152. 3. Ptolemæi jura. κτῆσιν, ὡς ὑπὲρ ἰδίων ἐποιεῖτο τὴν σπουδήν· ὁ δὲ Πτο- 5
λεμαῖος, ἀδίκως ὑπολαμβάνων τὸν πρότερον Ἀντίοχον,
συνεπιθέμενον τῇ τοῦ πατρὸς ὀρφανίᾳ, παρῃρῆσθαι τὰς
κατὰ Κοίλην Συρίαν [a] πόλεις αὐτοῦ, οὐχ οἷός τε ἦν
Mandata utriusque ad senatum. ἐκείνῳ παραχωρεῖν τῶν τόπων τούτων. Διόπερ οἱ περὶ 6
τὸν Μελέαγρον ἧκον, ἐντολὰς ἔχοντες, μαρτύρεσθαι τὴν
σύγκλητον, διότι Πτολεμαῖος αὐτῷ παρὰ πάντα τὰ
δίκαια τὰς χεῖρας ἐπιβάλλει πρότερος· οἱ δὲ περὶ τὸν 7
Τιμόθεον, περί τε [b] τῆς τῶν φιλανθρώπων ἀνανεώσεως,
καὶ τοῦ διαλύειν τὸν πρὸς Περσέα πόλεμον, μάλιστα δὲ
παρατηρεῖν τὰς τῶν περὶ τὸν Μελέαγρον ἐντεύξεις.
Περὶ μὲν οὖν τῆς διαλύσεως οὐκ ἐθάρρησαν εἰπεῖν, 8
Μάρκου συμβουλεύσαντος αὐτοῖς Αἰμιλίου· περὶ δὲ
τῶν φιλανθρώπων ἀνανεωσάμενοι, καὶ λαβόντες ἀπο-
κρίσεις ἀκολούθους τοῖς ἀξιουμένοις, ἐπανῆλθον εἰς τὴν
Responsum senatus. Ἀλεξάνδρειαν. Τοῖς δὲ περὶ τὸν Μελέαγρον ἡ σύγ- 9
κλητος ἀπεκρίθη, διότι Κοΐντῳ Μαρκίῳ δώσει τὴν ἐπι-
τροπήν, [c] γράψαι περὶ τούτων πρὸς Πτολεμαῖον, ὡς αὐτῷ
δοκεῖ συμφέρειν ἐκ τῆς ἰδίας πίστεως. Καὶ ταῦτα μὲν
οὕτως ἐχειρίσθη κατὰ τὸ παρόν.

[a] πόλεις αὐτῶν Bav. [b] Alterum artic. inserui cum Reiskio. [c] Vulgo γράψαι τε. Delevi conjunct. monente eodem Reisk.

honestissimam possessionem esse existimabat, pro suis illa habebat. At *Ptolemæus*, ratus, superiorem Antiochum, contra jus et fas pupillari patris sui ætati insidiatum, urbes ipsi eripuisse, quas in Syria Cœla habuerat, nullo modo in animum poterat inducere, ut locis istis ei cederet. Propterea venit Meleager, ut senatum testaretur, *Ptolemæum contra omne jus priorem lacessere Antiochum.* Timotheus vero ad renovandam amicitiam venerat, et imponendum finem bello contra Perseum; præcipue autem ad observandos Meleagri cum Romanis congressus. Sed de pace quidem cum Perseo, Marci Æmilii consilium secutus, ne facere quidem verba est ausus: amicitiam vero ubi renovasset, et congruentia postulatis suis responsa accepisset, Alexandriam est reversus. Meleagro senatus respondit, *Quinto Marcio se permissurum, ut de iis rebus ad Ptolemæum scribat, ita ut esse e re populi Romani fideque sua viderit.* Et hæ quidem res in præsentia hoc pacto sunt administratæ.

(II.) *Audiuntur* Legati Rhodiorum. A. U. 585.

* * *

II. Κατὰ τοὺς καιροὺς τούτους ἦλθον καὶ παρὰ Frumentum petunt ex Sicilia.
Ῥοδίων πρέσβεις, ἤδη τῆς θερείας ληγούσης, Ἡγησί-
2 λοχος, καὶ Νικαγόρας, καὶ Νίκανδρος· τήν τε φιλίαν
ἀνανεωσόμενοι, καὶ [d]σίτου θέλοντες ἐξαγωγὴν λαβεῖν,
ἅμα δὲ καὶ περὶ τῶν διαβολῶν ἀπολογησόμενοι, τῶν
3 λεγομένων κατὰ τῆς πόλεως. Ἐκφανέστατα γὰρ ἐδό- Excusant factionum dissidia.
κουν στασιάζειν ἐν τῇ Ῥόδῳ, οἱ μὲν περὶ τὸν Ἀγα-
θάγητον καὶ Φιλόφρονα καὶ Ῥοδοφῶντα καὶ Θεαίτητον,
ἀπερειδόμενοι πάσας τὰς ἐλπίδας ἐπὶ Ῥωμαίους· οἱ δὲ
περὶ τὸν [e]Δείνωνα καὶ Πολυάρατον, ἐπὶ Περσέα καὶ
4 Μακεδόνας. ἐξ ὧν πλεονάκις ἐν τοῖς ἐκείνων πράγμασιν
ἀντιῤῥήσεως [f]γενομένης, καὶ διελκομένων τῶν διαβουλίων,
ἐλάμβανον ἀφορμὰς οἱ βουλόμενοι λογοποιεῖν κατὰ τῆς
5 πόλεως. Οὐ μὴν ἥ γε σύγκλητος τότε προσεποιήθη
τούτων οὐδὲν, καίπερ σαφῶς εἰδυῖα τὰ γενόμενα παρ᾽
αὐτοῖς· σίτου δὲ δέκα μυριάδας μεδίμνων ἐξάγειν ἐκ
6 Σικελίας [g]ἐφῆκαν. Ταῦτα μὲν οὖν ἡ σύγκλητος ἐχρη-
7 μάτισεν [h]ἰδίᾳ τοῖς Ῥοδίων πρεσβευταῖς. Ἀκολούθως δὲ
καὶ τοῖς ἄλλοις ἅπασιν ἀπήντησε τοῖς ἀπὸ τῆς Ἑλλά-

[d] Videtur Ursinus hæc correxisse. In Bav. est σῖτον θέλοντες ἐξαγαγεῖν λαβεῖν. [e] Δείνωνα rescripsi. Vulgo h. l. Δίνωνα. Et Δίωνα Bav. [f] Sic Bav. Vulgo γινομένης. [g] ἐφῆκαν prætuli. ἀφῆκαν ex conject. scripserat Ursinus. Desideratur verbum in codd. [h] ἰδίᾳ τοῖς Ῥοδίων πρεσβευταῖς. Sic suasit Reisk. Vulgo διὰ τῶν Ῥοδίων πρεσβευτῶν.

(II.) *Legatio LXXIII.*

* * *

II. Per id tempus, inclinante jam æstate, *Rhodiorum* etiam *legati* venerunt, Hegesilochus, Nicagoras et Nicander; cum ad renovandam amicitiam, tum ut facultatem exportandi frumenti acciperent; simul, ut criminationibus responderent, quæ civitati objiciebantur. Erat namque notissimum, intestina seditione laborare Rhodios; quum *Agathagetus*, Philophron, Rhodophon et Theætetus spes omnes suas in Romanis defixissent; *Dino* contra et *Polyaratus*, in Perseo et Macedonibus. Ex quo persæpe fiebat, ut, rebus, quæ ad deliberandum proponebantur, in contrarias partes disceptatis, et dissidentibus sententiis, occasionem inde sumerent, qui detractum ire civitati cupiebant. Verum patres nihil eorum sibi innotuisse simulabant; qui tamen omnia, quæ apud illos fuerant gesta, probe norant: frumenti vero exportandi e Sicilia ad centum mille modiûm potestatem fecerunt. Ac senatus quidem Romanus cum Rhodiorum legatis ita egit; itemque erga omnes alios

Ol. 152. 3. δος παραγεγονόσι, τηροῦσι τὴν αὐτὴν ὑπόθεσιν. Καὶ 8 τὰ μὲν κατὰ τὴν Ἰταλίαν ἐν τούτοις ἦν.

II.

BELLUM PERSICUM.

(I.) Popillii *legatio ad Populos* Græciæ, *belli Persici caussa.*

* * *

A. Hostilius, proconsul.

C. Popillius, Cn. Octavius, legati ad Thebanos; ad Achæos.

III. [i] ΑΥΛΟΣ κατὰ τοῦτον τὸν χρόνον, ἀντιστράτηγος ὢν, καὶ παραχειμάζων ἐν Θετταλίᾳ μετὰ τῶν δυνάμεων, ἐξέπεμψε πρεσβευτὰς εἰς τοὺς κατὰ τὴν Ἑλλάδα τόπους, Γάϊον Ποπίλλιον, καὶ Γνάϊον Ὀκταΰϊον· οἳ 2 πρῶτον μὲν εἰς Θήβας ἐλθόντες, ἐπῄνεσαν καὶ παρεκάλεσαν τοὺς Θηβαίους, διαφυλάττειν τὴν πρὸς Ῥωμαίους εὔνοιαν. Ἑξῆς δὲ τούτοις ἐπιπορευόμενοι τὰς ἐν 3 Πελοποννήσῳ πόλεις, ἐπιδεικνύειν ἐπειρῶντο τοῖς ἀνθρώποις τὴν τῆς συγκλήτου πρᾳότητα καὶ φιλανθρωπίαν, προφερόμενοι τὰ δόγματα τὰ μικρῷ πρότερον ῥηθέντα· ἅμα δὲ διὰ τῶν λόγων παρενέφαινον, ὡς εἰδότες τοὺς ἐν 4 ἑκάστῃ τῶν πόλεων παρὰ τὸ δέον ἀναχωροῦντας, ὡσαύτως δὲ καὶ τοὺς [k] προσπίπτοντας. καὶ δῆλοι πᾶσιν ἦσαν 5 δυσαρεστούμενοι τοῖς ἀναχωροῦσιν, οὐχ ἧττον ἢ τοῖς ἐκφανῶς ἀντιπράττουσιν. Ἐξ ὧν τοὺς πολλοὺς εἰς 6

[i] Plurima pars hujus Eclogæ desideratur in Cod. Bav. [k] Omnino legendum προσπίπτοντας.

Græcorum legatos, qui eamdem sequebantur sectam, similiter se gessit. Hic tum fuit Italiæ status.

II.

(I.) *Legatio LXXIV et LXXV.*

* * *

III. PER idem tempus *Aulus Hostilius* proconsul, hiberna cum copiis *in Thessalia* habens, legatos circum civitates Græciæ misit, *C. Popillium et Cn. Octavium.* Qui, ubi *Thebas* primo venerunt, collaudatos Thebanos hortati sunt, ut in populi Romani amicitia manerent. Secundum hæc, *Peloponnesi* omnes urbes adeunt, et senatusconsulto, de quibus paullo ante sumus locuti, ostentantes, *clementiam humanitatemque senatus* ubique prædicant. Simul vero in sermonibus significationem dabant, *notos sibi esse in singulis civitatibus eos, qui ab amicitia Romanorum et ab officio recederent, pariterque eos, qui partes populi Romani sequerentur.* Eratque omnibus manifestum, non minus offensæ apud ipsos contrahi, si quis lentum se præberet, quam si palam factionis esset contrariæ. Quæ res sollicitos et anxios plerosque redde-

ἐπίστασιν καὶ διαπόρησιν ἦγον, ὑπὲρ τοῦ, τί ποτ' ἂν ἢ λέγοντες ἢ πράττοντες εὐστοχοῖεν τῶν παρεστώτων 7 καιρῶν. Οἱ δὲ περὶ τὸν Γάϊον, συναχθείσης τῆς τῶν Ἀχαιῶν ἐκκλησίας, ἐλέγοντο μὲν βεβουλεῦσθαι κατηγορήσειν τῶν περὶ τὸν Λυκόρταν καὶ τὸν Ἄρχωνα καὶ 8 Πολύβιον, καὶ παραδείξειν ἀλλοτρίους ὑπάρχοντας τῆς τῶν Ῥωμαίων αἱρέσεως, καὶ τὴν ἡσυχίαν ἄγοντας κατὰ τὸ παρὸν, οὐ φύσει τοιούτους ὄντας, ἀλλὰ παρατηροῦντας τὰ συμβαίνοντα, καὶ τοῖς καιροῖς ἐφεδρεύοντας. 9 Οὐ μὴν ἐθάῤῥησαν τοῦτο ποιῆσαι, διὰ τὸ μηδεμίαν εὔλογον ἀφορμὴν ἔχειν κατὰ τῶν προειρημένων ἀνδρῶν. 10 Διὸ συναχθείσης αὐτοῖς τῆς βουλῆς εἰς Αἴγιον, ἀσπαστικήν τε καὶ παρακλητικὴν ποιησάμενοι τὴν πρὸς τοὺς Ἀχαιοὺς ἔντευξιν, ἀπέπλευσαν εἰς τὴν Αἰτωλίαν.

A. U. 585. Popillius legatus ad Ætolos.

IV. Καὶ πάλιν ἐκεῖ συναχθείσης αὐτοῖς τῆς ἐκκλησίας εἰς Θέρμον, παρελθόντες εἰς τοὺς πολλοὺς, παρα-2 κλητικοὺς καὶ φιλανθρώπους διετίθεντο λόγους. τὸ δὲ συνέχον αὐτοῖς τῆς ἐκκλησίας, ὁμήρους ἔφασαν δεῖν 3 δοθῆναι σφίσι παρὰ τῶν Αἰτωλῶν. Τούτων δὲ καταβάντων, Πρόανδρος ἐπαναστὰς, ἐβούλετό τινας εὐχρηστίας πρὸς αὐτοῦ γεγενημένας εἰς τοὺς Ῥωμαίους προφέρεσθαι, καὶ κατηγορεῖν τῶν διαβαλλόντων αὐτόν. 4 Ἐφ' ὃν Γάϊος πάλιν ἐπαναστὰς, καὶ καλῶς εἰδὼς ἀλλότριον αὐτὸν ὄντα Ῥωμαίων, ὅμως ἐπήνεσε, καὶ 5 πᾶσι τοῖς εἰρημένοις ἀνθωμολογήσατο. Μετὰ δὲ τοῦτον

bat, quibusnam dictis factisve suas rationes ad præsentem statum satis adcommodare possent. Enimvero Popillius ceterique legati dicebantur convocato Achæorum concilio accusaturi Lycortam, Archonem et Polybium, eosque publice notaturi, ut alienos a consiliis populi Romani, qui in præsentia quiescerent, non quod quietis et publicæ tranquillitatis studio ducerentur, sed quia exitus rerum observarent et temporum opportunitatibus imminerent. Id tamen facere non sunt ausi legati; ut qui nihil haberent, quod prædictis viris cum aliqua similitudine veri objicerent. Itaque posteaquam coactum *Ægii* concilium adiissent, benigneque omnes salutassent, cohortatique essent, in Ætoliam trajecerunt.

IV. Ibi quoque congregatum *Thermi* concilium adeunt, benigna et prolixa oratione multitudinem ad officium hortaturi. Ceterum caussa præcipua convocati concilii erat, quod *obsides sibi dari ab Ætolis* postulabant. Postquam de suggestu descenderunt legati; surgit *Proander*, et commemoratis aliquot suis in populum Romanum meritis, invehi in eos incipiebat, qui se falsis criminationibus onerarent. At *Caius*, iterum surgens, licet probe perspectum ejus alienum a Romanis animum haberet, laudavit tamen, et omnibus, quæ dixerat, est adsensus. Post hunc

Ol. 152. 3. Popillius legatus ad Ætolos.

προελθὼν Λυκίσκος, ἐπ' ὀνόματος μὲν οὐδενὸς ἐποιήσατο
κατηγορίαν· καθ' ὑπόνοιαν δὲ, πολλῶν. Ἔφη γὰρ, 6
περὶ μὲν τῶν κορυφαίων καλῶς βεβουλεῦσθαι Ῥωμαίους,
ἀπαγαγόντας αὐτοὺς εἰς τὴν Ῥώμην, λέγων τοὺς περὶ
τὸν Εὐπόλεμον καὶ Νίκανδρον· τοὺς δὲ συναγωνιστὰς 7
καὶ τοὺς παραστάτας τοὺς ἐκείνων ἔτι μένειν κατὰ τὴν
Αἰτωλίαν, οὓς δεῖν ἅπαντας τῆς αὐτῆς τυχεῖν ἐκείνοις
ἐπιστροφῆς, ἂν μὴ προῶνται τὰ τέκνα Ῥωμαίοις εἰς
ὁμηρίαν. μάλιστα δὲ κατ' Ἀρχιδάμου καὶ Πανταλέοντος 8
ἐποίει τὰς ἐμφάσεις. Τούτου δὲ παραχωρήσαντος, 9
Πανταλέων ἀναστὰς, τὸν μὲν Λυκίσκον διὰ
βραχέων ἐλοιδόρησε, φήσας, αὐτὸν ἀναισχύντως καὶ
ἀνελευθέρως κολακεύειν τοὺς ὑπερέχοντας· ἐπὶ δὲ τὸν 10
Θόαντα μετέβη, τοῦτον ὑπολαμβάνων εἶναι τὸν ἀξιοπίστως
ἐνιέντα τὰς κατ' αὐτῶν διαβολὰς, τῷ δοκεῖν
μηδεμίαν ὑπάρχειν αὐτοῖς πρὸς τοῦτον διαφοράν. Καὶ 11
τὰ μὲν ὑπομνήσας τῶν κατ' Ἀντίοχον καιρῶν, τὰ δὲ
ὀνειδίσας εἰς ἀχαριστίαν αὐτῷ, διότι δοθεὶς ἔκδοτος
Ῥωμαίοις, πρεσβεύσαντος αὐτοῦ καὶ Νικάνδρου, τύχη
τῆς σωτηρίας ἀνελπίστως· ταχέως ἐξεκαλέσατο τοὺς 12
[k]Αἰτωλοὺς εἰς τὸ μὴ μόνον θορυβεῖν τὸν Θόαντα, ὅτε
[l]βουληθείη τι λέγειν, [m]ἀλλὰ καὶ βάλλειν ὁμοθυμαδόν.
Γενομένων δὲ τούτων, βραχέα καταμεμψάμενος ὁ Γάϊος 13

[k] Perperam vulgo Ἀχαιοὺς. [l] Vulgo βουληθεὶς. [m] ἀλλὰ abest vulgo, et *lacunæ signum* adposuit Casaub. Omnia ex conject. correxi, monente partim Reiskio.

procedit in medium *Lyciscus*, nominatim quidem neminem accusans; suspiciones vero in multos jaciens. Dixit enim, *recte quidem Romanos consuluisse in eo, quod gentis principes* (*Eupolemum et Nicandrum* intelligens) *Romam abduxissent: sed remanere adhuc in Ætolia adjutores illorum, et eorumdem consiliorum participes; quos omnes, nisi liberos suos ultro obsides Romanis tradant, simili ratione ad bonam mentem esse revocandos.* Maxime autem *Archidamum et Pantaleontem* sermo ejus designabat. Hic vero quum dicendi vices alii concessisset; surgit *Pantaleon*, et postquam paucis verbis Lycisco fecisset convicium, quem sine pudore et illiberaliter potentioribus adulari dixit, ad Thoantem se convertit, hunc ratus esse, cujus calumniis peteretur, quæ fidem eo magis merentur, quod nulla mutui inter ipsos odii esset suspicio. Hic igitur, partim revocatis in memoriam Antiochici belli temporibus, partim ingrati animi vitio illi exprobrato, quod, quum deditione traditus Romanis fuisset, per suam et Nicandri legationem insperatam salutem esset adeptus, cito concitavit Ætolos, ut non solum Thoanti obstreperent, quoties verba facere conaretur; verum etiam communi consensu lapidibus eum peterent. Quæ ubi acciderunt, *Popillius*, brevi sermone castiga-

τοὺς Αἰτωλοὺς ἐπὶ τῷ βάλλειν τὸν Θόαντα, οὗτος μὲν εὐθέως μετὰ τοῦ συμπρεσβευτοῦ ἀπῆρεν εἰς Ἀκαρνανίαν, ἐκσιωπηθεὶς περὶ τῶν ὁμήρων· τὰ δὲ κατὰ τὴν Αἰτωλίαν ἐν ὑποψίαις ἦν πρὸς ἀλλήλους καὶ ταραχαῖς ὁλοσχερέσιν. A. U. 583.

V. [n]Κατὰ δὲ τὴν Ἀκαρνανίαν συναχθείσης τῆς ἐκκλησίας εἰς Θούριον, Αἰσχρίων μὲν καὶ Γλαῦκος καὶ [o]Χρέμης, φίλοι ὄντες Ῥωμαίων, παρεκάλουν τοὺς περὶ
2 τὸν Γάϊον, ἔμφρουρον ποιῆσαι τὴν Ἀκαρνανίαν· εἶναι [p]γὰρ παρ' αὐτοῖς τοὺς ἀποφέροντας τὰ πράγματα πρὸς
3 Περσέα καὶ Μακεδόνας. Διογένης δὲ τὴν ἐναντίαν ἐποιήσατο τούτοις συμβουλίαν. οὐ γὰρ ἔφη δεῖν φρουρὰν εἰσάγειν εἰς οὐδεμίαν πόλιν· ταῦτα γὰρ ὑπάρχειν τοῖς πολεμίοις [q]γεγενημένοις, καὶ καταπολεμηθεῖσιν ὑπὸ
4 Ῥωμαίων. οὐδὲν δὲ πεποιηκότας Ἀκαρνᾶνας, οὐκ ἀξί-
5 ους εἶναι φρουρὰν εἰσδέχεσθαι κατ' οὐδένα τρόπον. τοὺς δὲ περὶ [r]Χρέμην καὶ Γλαῦκον, ἰδίαν ἐθέλοντας κατασκευάζεσθαι δυναστείαν, διαβάλλειν τοὺς ἀντιπολιτευομένους, καὶ θέλειν ἐπισπᾶσθαι φρουρὰν τὴν συν-
6 επισχύουσαν ταῖς αὐτῶν πλεονεξίαις. Ῥηθέντων δὲ τούτων, οἱ περὶ τὸν Γάϊον, θεωροῦντες τοὺς ὄχλους

Ad Acarnanes.

[n] Hoc CAPUT perperam vulgo separatim exhibetur post *Cap. VII.* et numeratur *Ecloga LXXV de Legationibus.* In contextu autem *Legationis LXXIV* sola exhibentur verba priora, Κατὰ δὲ τὴν Ἀκαρνανίαν, tum statim illa sequuntur, a quibus nos *Cap. VI.* incepimus, ὅτι ἔδοξε τοῖς Ἕλλησιν, ante quæ verba notam lacunæ posuit Casaub. [o] Χρέμης ex Ursini emend. est. Χρεμίας h. l. dant libri. Alibi Χρέμας, alibi Χρεμάτας apud Polyb. vocatur. [p] γὰρ correxit Casaub. δὲ Urs. cum MStis. παρ' αὐτοῖς cum Reisk. correxi. Vulgo περὶ αὐτούς. [q] γεγενημένοις dedit Bav. γενομένοις Ursin. [r] Χρέμιν h. l. Bav.

tis Ætolis, quod lapidibus peterent Thoantem, mox cum legationis collega in Acarnaniam est profectus, facto de obsidibus silentio, erantque omnia in Ætolia suspicionum mutuarum et tumultuum plena.

v. In *Acarnaniam* inde profecti legati. Ibi concilio *Thurii* congregato, Æschrion, Glaucus et Chremes, qui Romanis favebant, *Popillium* hortabantur, ut *præsidia in Acarnaniam induceret: non deesse enim inter cives, qui ad Perseum et Macedonas rem traherent.* Contrarium huic consilium Diogenes dabat: *neque enim ullam in urbem præsidium,* aiebat, *esse inducendum; quod iis fieret, qui hostes Romanis et bello victi essent. Acarnanas fecisse nihil, cur ulla ratione mererentur præsidia recipere. At Chremen et Glaucum, studio firmandæ suæ privatim potentiæ, eos, qui a se dissideant in republica, per calumniam criminari, et præsidium velle attrahere, cujus ope suam cupiditatem sint expleturi.* Postquam hæc dicta essent; cernens *Popillius,* iniquo ani-

Ol. 152. 3. Popillius legatus ad Acarnanes.

δυσαρεστουμένους ταῖς φρουραῖς, καὶ [s]βουλόμενοι στοιχεῖν τῇ τῆς συγκλήτου προθέσει, συγκαταθέμενοι τῇ τοῦ Διογένους γνώμῃ, καὶ συνεπαινέσαντες, ἀπῆραν ἐπὶ Λαρίσσης πρὸς τὸν ἀνθύπατον.

*

VI. Ἔδοξε τοῖς Ἕλλησι περὶ τῆς πρεσβείας ἐπιστάσεως χρείαν ἔχειν τὸ γιγνόμενον. Παραλαβόντες 2
οὖν τοὺς κατὰ τὴν ἄλλην πολιτείαν ὁμογνωμονοῦντας· οὗτοι δ' ἦσαν Ἀρκεσίλαος, Ἀρίστων [t]Μεγαλοπολῖται, Στράτιος Τριτταιεὺς, Ξένων [u]Πατρεὺς, Ἀπολλωνίδης Σικυώνιος· ἐβουλεύοντο περὶ τῶν ἐνεστώτων. Ὁ οὖν 3
Λυκόρτας ἔμεινεν ἐπὶ τῆς ἐξ ἀρχῆς προθέσεως, κρίνων, μήτε Περσεῖ, μήτε Ῥωμαίοις συνεργεῖν μηδὲν ὁμοίως, μηδ' ἀντιπράσσειν μηδετέροις. τὸ μὲν γὰρ συνεργεῖν 4
ἀλυσιτελὲς ἐνόμιζεν εἶναι πᾶσι τοῖς Ἕλλησιν, προορώμενος τὸ μέγεθος τῆς ἐσομένης ἐξουσίας περὶ τοὺς κρατήσαντας· τὸ δ' ἀντιπράττειν ἐπισφαλὲς, διὰ τὸ 5
πολλοῖς καὶ τοῖς ἐπιφανεστάτοις Ῥωμαίων ἀντωφθαλμηκέναι περὶ τῶν κοινῶν πραγμάτων κατὰ τοὺς ἀνώτερον καιρούς. Ὁ δ' Ἀπολλωνίδης καὶ [x]Στράτιος ἀντι- 6
πράττειν μὲν ἐπίτηδες Ῥωμαίοις [y]οὐκ ᾤοντο δεῖν· τοὺς

[s] Mendose Ursinus cum MStis βουλομένους τυχεῖν. στοιχεῖν correxit Casaub. βουλόμενοι scripsi, monente Reiskio. [t] Μεγαλοπολῖται ex Reiskii conject. scripsi, pro Μεγαλοπολίτης. [u] Πατρεὺς correxi, monente Gron. Vulgo Παταρεὺς. [x] Στράτιος correxi. Vulgo h. l. Στράτων. [y] Verba οὐκ ᾤοντο δεῖν usque παρὰ Ῥωμαίοις absunt ab Ursini edit. Videtur ergo ea ex Schotti cod. accepisse Casaub. Nam in Bav. deest hæc Ecloga.

mo ferri præsidia a populis, volensque senatus propositum sequi, Diogenis sententiæ atque consilio adsensus, collaudatis Acarnanibus, *Larissam* ad proconsulem est profectus.

*

VI. Advertit animos Græcorum ista legatio; ut, quid ageretur, ducerent accuratius sibi considerandum. Iis igitur adsumtis, qui in reliqua administratione publicæ rei consentiebant, (hi erant *Arcesilaus* et *Ariston* Megalopolitani, *Stratius* Trittæensis, *Xeno* Patrensis, *Apollonides* Sicyonius,) de re proposita consultabant. Et *Lycortas* quidem, in sententia manens, quam a principio habuerat, censebat, *Perseo Romanisque pariter neque opem ferendam, neque resistendum.* Nam auxiliari quidem, exitiosum esse omnibus Græcis autumabat; quanta esset futura victoris potentia, animo prospiciens: resistere vero, periculosum rebatur; quod jam superioribus temporibus in publicis consiliis ausi essent multis iisque clarissimis proceribus Romanis se opponere. *Apollonides* et *Stratius*, ut Græci ex professo Romanis adversarentur, non probabant: verum, *si qui præcipites sese dare vellent, et*

δ' ὑπερκυβιστῶντας, καὶ διὰ τῶν κοινῶν πραγμάτων A. U. 583.
[z] ἰδίαν χάριν ἀποτιθεμένους παρὰ Ῥωμαίοις, καὶ [a] τοῦτο πράττοντας παρὰ τοὺς νόμους καὶ παρὰ τὸ κοινῇ συμφέρον, τούτους ἔφασαν δεῖν κωλύειν, καὶ πρὸς τούτους
7 ἀντοφθαλμεῖν εὐγενῶς. Ὁ δ' Ἄρχων, ἀκολουθεῖν, ἔφη, δεῖν τοῖς καιροῖς, καὶ μὴ διδόναι τοῖς ἐχθροῖς ἀφορμὴν εἰς διαβολήν, μηδὲ προέσθαι σφᾶς αὐτοὺς εἰς τὴν αὐτὴν ἐλθεῖν διάθεσιν τοῖς περὶ Νίκανδρον· οἵ τινες, πρὶν ἢ λαβεῖν πεῖραν τῆς τούτων ἐξουσίας, ἐν ταῖς μεγίσταις
8 εἰσὶ ταλαιπωρίαις. Ταύτης δὲ τῆς γνώμης μετέσχον
9 Πολύαινος, Ἀρκεσίλαος, Ἀρίστων, Ξένων. Διὸ καὶ Archo, prætor Achæor.
τὸν μὲν Ἄρχωνα πρὸς τὴν στρατηγίαν ἔδοξεν αὐτοῖς εὐθέως προπορεύεσθαι· τὸν δὲ Πολύβιον πρὸς τὴν ἱππαρχίαν. Polybius, mag. eq.

VII. Τούτων δὲ νεωστὶ γεγονότων, καὶ προδιειληφότων τῶν περὶ τὸν Ἄρχωνα, διότι δεῖ συμπράττειν Ῥωμαίοις καὶ τοῖς τούτων φίλοις, τυχικῶς πως συνέβη, τὸν Ἄτταλον πρὸς ἑτοίμους ὄντας ποιήσασθαι τοὺς Archo, amicus Romam.
2 λόγους. Διὸ καὶ προθύμως αὐτῷ κατανεύσαντες, ὑπ-
3 έσχοντο συμπράξειν ὑπὲρ τῶν παρακαλουμένων. Τοῦ δ' Attalus agit cum Achæis de honoribus Eumenis.
Ἀττάλου πέμψαντος πρεσβευτὰς, καὶ παραγενομένων τούτων εἰς τὴν πρώτην ἀγορὰν, καὶ διαλεγομένων τοῖς Ἀχαιοῖς περὶ τοῦ τὰς τιμὰς ἀποκατασταθῆναι τῷ βασιλεῖ, καὶ παρακαλούντων, ποιῆσαι τοῦτο διὰ τῆς
4 Ἀττάλου χάριτος· ὁ μὲν ὄχλος ἄδηλος ἦν, ἐπὶ τίνος

[z] ἰδίαν cum Reiskio correxi. Vulgo ἰδίᾳ. [a] τούτοις πράττ. voluit Reisk. *his studentes.*

proditione salutis publicæ privatam sibi Romanorum gratiam irent quæsitum; horum impediendos esse conatus, et fortiter iis esse resistendum. Archoni placebat, ut *temporum rationem haberent, nec hostibus calumniandi darent occasionem; denique caverent, ne sua culpa idem infortunium incurrerent cum Nicandro; qui priusquam Romanorum potentiam esset expertus, in maximas calamitates incidisset.* Eadem fuit sententia et Polyæni, Arcesilai, Aristonis, et Xenonis. Propterea placuit, ut *præturam* gentis statim peteret *Archo*, equitum vero præfecturam *Polybius.*

VII. Hæc quum ita nuperrime essent gesta, et jam haberet constitutum *Archo*, auxiliandum esse Romanis et eorum amicis; opportune evenit, ut *Attalus*, regis Eumenis frater, paratum offenderet, quando ipsum convenit. Itaque lætus Archo assentiri illi, et ad impetranda, quæ postulabat, suam operam ei polliceri. Missi deinde sunt ab Attalo legati ad proximum Achæorum concilium. Qui ubi apud Achæos verba fecissent *de restituendis Eumeni honoribus*, rogassentque, ut *in Attali gratiam* hoc facerent; quæ super eo multitudinis voluntas esset, haud satis poterat cognosci; ad con-

Ol. 152. 3. De honoribus Eumenis.

[b]ὑπάρχει γνώμης· πρὸς δὲ τὴν ἀντιλογίαν ἀνίσταντο πολλοί, καὶ διὰ πολλὰς αἰτίας. Οἱ μὲν γὰρ, ἐξ 5
ἀρχῆς αἴτιοι γενόμενοι τῆς ἀναιρέσεως τῶν τιμῶν, βεβαιοῦν ἐβούλοντο τὴν αὐτῶν γνώμην· οἱ δὲ, ἐκ τῶν κατ' ἰδίαν ἐγκλημάτων ὑπέλαβον καιρὸν ἔχειν ἀμύνεσθαι τὸν βασιλέα· τινὲς δὲ, διὰ τὸν πρὸς τοὺς συμπράττοντας φθόνον, ἐφιλοτιμοῦντο μὴ κρατῆσαι τὸν Ἄτταλον τῆς ἐπιβολῆς. Ὁ δ' Ἄρχων ἀνέστη μὲν βοηθήσων τοῖς 6
πρεσβευταῖς· ἐκάλει γὰρ τὰ πράγματα τὴν τοῦ στρατηγοῦ γνώμην. βραχέα δ' εἰπὼν ἀνεχώρησε, διευλαβηθεὶς, μὴ δόξῃ κέρδους τινὸς ἕνεκεν συμβουλεύειν, διὰ τὸ πλῆθος ἱκανὸν χρημάτων εἰς τὴν ἀρχὴν δεδαπανηκέναι. 7

Polybii oratio.

Πολλῆς δ' οὔσης ἀπορίας, ὁ Πολύβιος ἀναστὰς ἐποι- 8
ήσατο μὲν καὶ πλείονας λόγους, μάλιστα δὲ προσέδραμε πρὸς τὴν τῶν πολλῶν γνώμην, ὑποδείξας τὸ γεγονὸς ἐξ ἀρχῆς ψήφισμα τῶν Ἀχαιῶν ὑπὲρ τῶν τιμῶν, ἐν ᾧ γεγραμμένον ἦν, ὅτι δεῖ τὰς ἀπρεπεῖς ἀρθῆναι τιμὰς, καὶ τὰς παρανόμους, οὐ μὰ Δί' ἁπάσας. τοὺς δὲ περὶ Σωσιγένη καὶ Διοπείθη [c]Ῥοδίους, 9
δικαστὰς ὑπάρχοντας κατ' ἐκεῖνον τὸν καιρὸν, καὶ διαφερομένους ἔκ τινων ἰδίων πρὸς τὸν Εὐμένη, λαβομένους, ἔφη, τῆς ἀφορμῆς ταύτης, πάσας ἀνατετροφέναι τὰς τιμὰς τοῦ βασιλέως· καὶ τοῦτο πεποιηκέναι παρὰ 10

[b] ὑπάρχει correxi. ὑπάρχειν dabat codex, quod in ὑπάρχῃ mutavit Ursin.
[c] Suspectum hoc loco vocab.

tradicendum vero multi multis de caussis surrexerunt. Nam qui auctores initio fuerant tollendorum Eumenis honorum, ii ratam manere suam sententiam volebant: alii, suo privatim nomine regi offensi, ejus ulciscendi opportunum tempus nactos se putabant: quosdam impellebat invidia erga patronos hujus caussa, ut omni studio contenderent, ne Attalus rem perficeret. Tandem surgit *Archo*, ut legatorum petitionem adjuvaret: res namque ipsa postulabat, ut prætor sententiam diceret. Is pauca locutus discedit, veritus, ne, quia magnis impensis magistratus ipsi constiterat, spe lucelli cujusdam ductus, id consilium dare videretur. In summa omnium perturbatione et consilii inopia, surgit *Polybius*, qui longam orationem habuit, maximæ vero adsecutus est multitudinis sententiam, qua *de facto ab Achæis decreto super tollendis honoribus* disserens, *esse in eo scriptum* ostendebat, *honores illos tollendos, qui essent indecori et contra leges, nequaquam vero omnes tollendos. Sed Sosigenem et Diopithem Rhodios, qui per id tempus judicia exercebant, offensos privatis ex caussis Eumeni, hanc arripuisse occasionem, et omnes regis honores evertisse. Id vero fecisse illos*

τὸ τῶν Ἀχαιῶν δόγμα, καὶ παρὰ τὴν δοθεῖσαν αὐτοῖς ἐξουσίαν, καὶ τὸ μέγιστον, παρὰ τὸ δίκαιον καὶ τὸ A. C. 585.
11 καλῶς ἔχον. οὐ γὰρ ὡς ἠδικημένους τοὺς Ἀχαιοὺς βουλεύσασθαι τὰς τιμὰς αἴρειν τὰς Εὐμένους· ἀλλὰ μείζους αὐτοῦ ζητοῦντος τῶν εὐεργεσιῶν, τούτῳ προσκό-
12 ψαντας ψηφίσασθαι τὸ πλεονάζον παρελεῖν. Διόπερ ἔφη δεῖν, καθάπερ οἱ δικασταὶ, τὴν ἰδίαν ἔχθραν ἐπίπροσθεν ποιήσαντες τοῦ τῶν Ἀχαιῶν εὐσχήμονος, ἀνέτρεψαν πάσας τὰς τιμὰς, οὕτω τοὺς Ἀχαιοὺς, κυριώτατον ἡγησαμένους τὸ σφίσι καθῆκον καὶ πρέποι, διορθώσασθαι τὴν τῶν δικαστῶν ἁμαρτίαν, καὶ καθόλου
13 τὴν πρὸς τὸν Εὐμένη γεγενημένην ἀλογίαν· [d]ἄλλως περ, καὶ μέλλοντας μὴ μόνον [e]ἐπ' αὐτὸν τὸν βασιλέα τὴν χάριν ἀποδίδοσθαι ταύτην, ἔτι δὲ μᾶλλον εἰς τὸν
14 ἀδελφὸν Ἄτταλον. Τοῦ δὲ πλήθους εὐδοκήσαντος τοῖς λεγομένοις, ἐγράφη δόγμα, προστάττον τοῖς ἄρχουσι, πάσας ἀποκαταστῆσαι τὰς Εὐμένους τοῦ βασιλέως τιμὰς, πλὴν εἴ τινες ἀπρεπές τι περιέχουσι τῷ κοινῷ Restituuntur Eumeni honores.
15 τῶν Ἀχαιῶν, ἢ παράνομον. Τοῦτον μὲν δὴ τὸν τρόπον καὶ κατὰ τοῦτον τὸν καιρὸν Ἄτταλος διωρθώσατο τὴν γενομένην ἀλογίαν περὶ τὰς ὑπαρχούσας Εὐμένει τ' ἀδελφῷ τιμὰς κατὰ τὴν Πελοπόννησον.

[d] ἄλλως τε voluit Reisk. [e] εἰς αὐτὸν malim cum Reisk.

contra Achæorum decretum, mandatæque sibi, potestatis fines excessisse, et, quod præcipuum, jus omne atque honestatem migrasse. Neque enim accepta aliqua injuria irritatos statuisse Achæos Eumeni honores detrahere; sed, quod majores ipse, quam pro beneficiis suis in Achæorum gentem collatis, postulasset, ea re offensos decrevisse, ut, quod modum excedebat, detraheretur. Oportere igitur, aiebat Polybius, *ut, quemadmodum judices illi, potiore odii sui ratione habita, quam decori et officii Achæorum, omnes simul honores everterant, ita Achæi officium suum atque honestatem omnibus rebus anteponentes, culpam illorum judicum, et quidquid omnino priore contemtu in Eumenem peccatum esset, id emendarent; quum præsertim non regem dumtaxat eo facto essent demerituri, verum etiam fratrem quoque illius Attalum.* Hæc sententia multitudini quum placuisset, factum est decretum, quo jubebantur magistratus omnia, quæ ad Eumenis honorem spectabant, instaurare, nisi quid forte in iis esset, quod aut Achæorum commune parum deceret, aut legibus repugnaret. Ita igitur Attalus, quæ temere in Peloponneso peccata fuerant circa Eumenis fratris honores, tunc temporis emendavit.

Ol. 152. 3. (II.) Persei legationes ad Genthium regem.

* * *

Genthium ad societatem invitat Perseus.

VIII. Περσεὺς πρὸς [f]Γένθιον τὸν βασιλέα ἀπέστειλε πρεσβευτὰς, Πλευρατόν τε τὸν Ἰλλυριὸν, ὄντα φυγάδα παρ' αὐτῷ, καὶ τὸν Βεροιαῖον Ἀδαῖον· δοὺς ἐντολὰς, 2 διασαφεῖν τὰ πεπραγμένα κατὰ τὸν πόλεμον [g]πρός τε Ῥωμαίους αὐτῷ, καὶ πρὸς Δαρδανίους, ἔτι δὲ καὶ πρὸς Ἠπειρώτας, καὶ πρὸς Ἰλλυριοὺς κατὰ τὸ παρὸν, καὶ παρακαλεῖν αὐτὸν πρὸς τὴν τούτου καὶ Μακεδόνων φιλίαν καὶ συμμαχίαν.

Scardus l. Scordus mons.

Οἳ καὶ ποιησάμενοι τὴν πο- 3 ρείαν ὑπὲρ τὸ [h]Σκάρδον ὄρος διὰ τῆς Ἐρήμου καλουμένης Ἰλλυρίδος, ἣν οὐ πολλοῖς χρόνοις ἀνώτερον ἀνάστατον ἐποίησαν Μακεδόνες, [i]διὰ τὸ δυσέργους ποιῆσαι τοῖς Δαρδανεῦσι τὰς εἰς τὴν Ἰλλυρίδα εἰσβολάς· πλὴν 4 οἵ γε περὶ τὸν Ἀδαῖον διὰ τούτων τῶν τόπων μετὰ πολλῆς κακοπαθείας ἦλθον εἰς [k]Σκόρδαν, καὶ πυθόμενοι, τὸν Γένθιον ἐν Λίσσῳ διατρίβειν, διεπέμψαντο πρὸς αὐτόν.

Scorda l. Scodra. Lissus opp.

τοῦ δὲ ταχέως αὐτοὺς μεταπεμψαμένου, 5 συμμίξαντες διελέγοντο περὶ ὧν εἶχον τὰς ἐντολάς.

Genthii responsum.

Ὁ δὲ Γένθιος οὐκ ἐδόκει μὲν ἀλλότριος εἶναι τῆς πρὸς 6 τὸν Περσέα φιλίας, ἐσκήπτετο δὲ, τοῦ μὴ παραχρῆμα συγκατατίθεσθαι τοῖς ἀξιουμένοις, τὴν ἀχορηγησίαν, καὶ μὴ δύνασθαι χωρὶς χρημάτων ἀναδέξασθαι τὸν

[f] Γέντιον ed. Gron. et Ern. h. l. et deinde, invitis MStis. [g] πρὸς τοὺς Ῥωμ. Bav. [h] Vulgo Σκόρδον invitis MStis. [i] χάριν τοῦ requiri monuit Reiskius. [k] Σκόρδαν debetur Casaubono. Σκόδραν vocant alii scriptores. Σκόρδας Bav. Κόρδαν cod. Urs.

(II.) *Legatio LXXVI et LXXVII.*

* * *

VIII. *Perseus* legatos ad *Genthium regem* misit, Pleuratum Illyrium, exsulantem apud se, et Adæum Berœensem; quibus mandavit, ut exponerent, quæ bello egisset adversus Romanos Dardanosque, adjicerentque recentis expeditionis in Epiro et Illyrico operą, et hortarentur *Genthium* ad amicitiam ac societatem secum et cum Macedonibus jungendam. Hi transgressi jugum *Scardi* [*Scordi*] montis per Illyrici quas vocant solitudines, (eam regionem non multo ante de industria Macedones populando a cultoribus vacuam fecerant, quo transitus difficiles Dardanis in Illyricum redderent;) per ea inquam loca cum ingenti vexatione Adæus et Pleuratus *Scordam* [*Scodram*] pervenerunt. Qui cognito, *Lissi* morari Genthium, ad illum miserunt: ac mox ab illo acciti, ut eo ventum, mandata exponunt. Videbatur quidem *Genthius* non esse alienus ab amicitia cum Perseo contrahenda; verum, ne statim legatorum postulatis adnueret, hoc prætextu est usus, quod *a rebus bello necessariis esset imparatus, quodque sine pecunia bellum adversus*

7 πρὸς Ῥωμαίους πόλεμον. Οἱ [l]μὲν οὖν περὶ τὸν Ἀδαῖον, A. U. 585.
8 ταύτας λαβόντες τὰς ἀποκρίσεις, ἐπανῆγον. Ὁ δὲ
Περσεὺς, παραγενόμενος ἐς [m]Στύβερραν, τήν τε λείαν
ἐλαφυροπώλησε, καὶ τὴν δύναμιν ἀνέπαυσε, προσδε-
9 χόμενος τοὺς περὶ τὸν Πλεύρατον. Παραγενομένων δ' Denuo legatus mittit Perseus.
αὐτῶν, ἀκούσας τὰ παρὰ τοῦ Γενθίου, πάλιν ἐξαυτῆς
ἔπεμπε τὸν Ἀδαῖον, καὶ σὺν τούτῳ τὸν Γλαυκίαν, ἕνα
τῶν σωματοφυλάκων, καὶ τρίτον τὸν Ἰλλυριὸν, διὰ τὸ
10 τὴν διάλεκτον εἰδέναι τὴν Ἰλλυρίδα· δοὺς ἐντολὰς τὰς
αὐτὰς, ὥσπερ οὐ κυρίως τοῦ Γενθίου διασεσαφηκότος,
τίνος προσδεῖται, καὶ τίνος γενομένου δύναται συγκατα-
11 βῆναι εἰς τὰ παρακαλούμενα. Τούτων δ' ἀφορμη-
σάντων, ἀναζεύξας αὐτὸς μετὰ τῆς δυνάμεως ἐποιεῖτο Ancyra opp.
τὴν πορείαν ἐπ' Ἀγκύραν.

* * *

IX. Κατὰ τὸν καιρὸν τοῦτον ἧκον οἱ πρὸς τὸν Γένθιον Tertia legatio Persei ad Genthium.
ἀποσταλέντες πρέσβεις, οὔτ' ᾠκονομηκότες πλεῖον οὐδὲν
τῶν πρότερον, οὔτ' [n]ἀναγγέλλοντες πλεῖον οὐδὲν ὧν καὶ
2 πρότερον· διὰ τὸ τὸν Γένθιον μένειν ἐπὶ τῆς αὐτῆς
αἱρέσεως, ὄντα μὲν ἕτοιμον τῷ Περσεῖ κοινωνεῖν τῶν
αὐτῶν πραγμάτων, χρημάτων δὲ φάσκοντα χρείαν
3 ἔχειν. Ὧν ὁ Περσεὺς παρακούσας, πάλιν ἔπεμπε τοὺς
περὶ τὸν Ἱππίαν, βεβαιωσομένους ὑπὲρ τῶν ὁμολογιῶν,

[l] οὖν ex conject. inserui. [m] Στύβερραν correxit Urs. Τύβερραν erat in MStis.
[n] Vocab. πλεῖον h. l. ex Ursini ingenio adjectum est.

Romanos suscipere non posset. Hoc accepto responso, Adæus ad Perseum redit. *Stuberam* rex tunc venerat, et prædam ac spolia ibi vendebat, suosque milites reficiebat, Pleurati reditum exspectans. Qui ut est reversus; postquam intellexit *Perseus,* quæ responderat *Genthius,* extemplo Adæum remittit, eum eoque Glauciam, ex numero custodum corporis, addito [eodem] Illyrio, quod linguæ Illyricæ is esset peritus. His mandata dat eadem, quæ ante: quasi parum perspicue declarasset *Genthius,* qua sibi re esset opus, et quo pacto flecti posset, ut postulatis eorum adnueret. Iis iter aggressis, ipse cum exercitu *Ancyram* petit.

* * *

IX. Sub id tempus, qui ad *Genthium* missi fuerant, redierunt; quum neque fecissent quidquam amplius quam antea, neque amplius quidquam renunciarent, quam antea. Manebat quippe *Genthius* in eadem voluntate, et paratus quidem erat consilia sua omnia cum Perseo consociare; sed, *pecunia sibi opus esse,* dicebat. Quam rem *Perseus* contemtim audiens, Hippiam iterum mittit ad fœdus firmandum, nulla ejus rei mentione facta, in qua

Ol. 152. 3.

Persei occaecatio.

τὸ συνέχον παραλιπὼν, [o]δι' οὗ ἐξῆν μόνου εὐνοοῦντα
ποιῆσαι τὸν Γένθιον. ὥστε διαπορεῖν, πότερα δεῖ λέγειν 4
ἐπὶ τῶν τοιούτων ἀλογιστίαν, ἢ [p]δαιμονοβλάβειαν.
[q]δοκῶ μὲν, ὅτι δαιμονοβλάβειαν, οἵ τινες ἐφίενται μὲν
τοῦ μεγάλα τολμᾶν, καὶ παραβάλλονται μὲν τῇ

Persei occaecatio saluti fuit Graecis.

ψυχῇ· [r]παρίασιν δὲ τὸ συνέχον ἐν ταῖς ἐπιβολαῖς,
βλέποντες αὐτὸ, καὶ δυνάμενοι πράττειν. Ὅτι γὰρ, εἰ 5
Περσεὺς κατ' ἐκεῖνον τὸν καιρὸν ἠβουλήθη προέσθαι
χρήματα καὶ κοινῇ τοῖς πολιτεύμασι, καὶ κατ' ἰδίαν
τοῖς βασιλεῦσι καὶ τοῖς πολιτευομένοις, οὐ λέγω μεγα-
λομερῶς, καθάπερ ἐξῆν αὐτῷ χορηγιῶν ἕνεκεν, ἀλλὰ
μετρίως μόνον, πάντας ἂν συνέβη καὶ τοὺς Ἕλληνας 6
καὶ τοὺς βασιλεῖς, εἰ δὲ μή γε, τοὺς πλείστους ἐξε-
λεγχθῆναι· δοκῶ μηδένα τῶν νοῦν ἐχόντων πρός με
διαμφισβητῆσαι περὶ τούτων. Νῦν δὲ καλῶς ποιῶν οὐκ 7
ἦλθε ταύτην τὴν ὁδὸν, δι' ἧς, ἢ κρατήσας τῶν ὅλων,
ἐξουσίαν ὑπερήφανον ἔσχεν, ἢ σφαλεὶς, πολλοὺς ἂν
ἐποίησε τῆς αὐτῆς [s]τύχης [t]πεῖραν αὐτῷ λαβεῖν· ἀλλὰ 8
τὴν ἐναντίαν, δι' ἧς ὀλίγοι τελέως [u]ἠλογήθησαν τῶν
Ἑλλήνων [x]ὑπὸ τὸν τῆς πράξεως καιρόν.

[o] Verba *δι' οὗ ἐξῆν μόνου* ingenio debentur Casauboni: pro quibus Ursinus cum MStis hæc habet, *φάσκων ἐξηγμένον*. [p] Bav. utrobique *δαιμονοβλαβίαν*. [q] *δοκῶ μέντοι* malim cum Reisk. [r] *παριᾶσιν* Urs. [s] Vocab. *τύχης*, quod abest vulgo, ex Casaub. et Gron. conject. adjeci. [t] *πεῖραν* correxit Casaub. *πείρας* Urs. cum MStis. [u] *ἠλέγχθησαν* voluit Reisk. [x] *ὑπὸ* correxit Urs. *ἀπὸ* erat in MStis.

una totius negotii cardo vertebatur, quum tamen unica illa esset ratio, qua posset benevolum *Genthium* sibi reddere. Ut equidem dubitem, peccatum hujuscemodi *stoliditatem*-ne adpellem, an *fatalem* quamdam *et divinitus immissam mentis occæcationem*. Puto autem, hoc potius nomen, quam illud, convenire in eos homines, qui quidem magna cupiunt moliri, et cuivis periculo suam objiciunt vitam, at id tamen omittunt, quod in consiliis suscipiendis præcipuum est, idque scientes et prudentes, quum in potestate ipsorum sit illud præstare. Nam illa tempestate si pecunias largiri *Perseus* voluisset et publice civitatibus, et privatim regibus, atque iis qui publica negotia tractabant, non dicam ea, qua poterat, magnificentia impensas subministrando, sed modica tantum liberalitate utendo; eventurum erat profecto, ut omnes Græciæ populi, omnesque vel certe quam plurimi reges deprehenderentur: de quo non arbitror quemquam prudentum fore mecum disputaturum. Nunc recte fecit Perseus, qui hanc non ingressus sit viam, per quam, aut plena victoria parta, dominationem superbam erat obtenturus, aut, si vinceretur, in ejusdem perniciei societatem multos secum attracturus; sed contrariam potius viam instituit, unde factum, ut pauci omnino Græci sub ipsum belli tempus in fraudem inciderint.

(III.) Polybii *legatio ad* Q. Marcium *Cos* A. U. 583.

* * *

x. Τοῦ Περσέως βουλομένου ἥξειν μετὰ δυνάμεως
εἰς τὴν Θετταλίαν, καὶ λήψεσθαι τὰ ὅλα κρίσιν ἐκ τῶν
κατὰ λόγον, ἔδοξε τοῖς περὶ τὸν Ἄρχωνα, δι' αὐτῶν τῶν
πραγμάτων ἀπολογεῖσθαι πάλιν πρὸς τὰς ὑπονοίας καὶ Achæi auxilia offerunt Romanis adv. Perseum.
2 διαβολάς. Εἰσήνεγκαν οὖν εἰς τοὺς Ἀχαιοὺς δόγμα,
διότι δεῖ, πανδημεὶ ποιησαμένους τὴν ἔξοδον εἰς Θετταλίαν,
κοινωνῆσαι τῶν πραγμάτων ὁλοσχερῶς τοῖς Ῥω-
3 μαίοις. Καὶ τούτου κυρωθέντος, ἔδοξε τοῖς Ἀχαι-
οῖς, τὸν Ἄρχωνα γίγνεσθαι [y] περὶ τὴν συναγωγὴν τοῦ
στρατεύματος, καὶ περὶ τὰς εἰς τὴν ἔξοδον παρασκευάς,
πρὸς δὲ τὸν ὕπατον πρεσβευτὰς πέμπειν εἰς Θετταλίαν,
τοὺς τὰ δεδογμένα τοῖς Ἀχαιοῖς διασαφήσοντας, καὶ
πευσομένους, πότε καὶ ποῦ δεῖ συμμιγνύειν αὐτῷ τὸ
4 στρατόπεδον. Καὶ κατέστησαν πρεσβευτὰς παραχρῆμα
Πολύβιον καὶ ἄλλους, καὶ ἐνετείλαντο τῷ Πολυβίῳ
φιλοτίμως, ἐὰν ὁ στρατηγὸς εὐδοκῇ τῇ παρουσίᾳ τοῦ Polybius legatus ad Q. Marcium Cos.
στρατοπέδου, [z] τοὺς μὲν πρεσβευτὰς ἐξαυτῆς πέμπειν
5 διασαφήσοντας, ἵνα μὴ καθυστερῶσι τῶν καιρῶν· αὐτὸν
δὲ φροντίζειν, ἵνα τὸ στράτευμα πᾶν ἐν ταῖς πόλεσιν
ἀγορὰς ἔχῃ, δι' ὧν ἂν [a] ἐμπορεύηται, καὶ μηδὲν ἐλλείπῃ
6 τῶν ἐπιτηδείων τοὺς στρατιώτας. Ταύτας μὲν οὖν ἔχον-

[y] correxi cum Reisk. Vulgo εἰς τὴν. Debuerat forsan πρὸς. [z] Forsan τοὺς μὲν ἄλλους πρεσβ. [a] Simplex πορεύηται vel ἐκπορεύηται cum Reisk. videtur reponendum.

(III.) *Legatio LXXVIII.*

* * *

x. Quo tempore dicebatur *Perseus* Thessaliam cum exercitu venturus, et probabili ratione adducti homines credebant, universo bello finem impositum iri; visum est *Archoni* rebus ipsis suspiciones et calumnias, in Achæos collatas, iterum refutare. Idcirco auctor Achæis fuit, ut decretum facerent de expeditione cum universæ gentis copiis suscipienda versus Thessaliam, ut omnis fortunæ periculum una cum Romanis adirent. Hoc facto decreto, placuit *Achæis*, ut conscribendi exercitus curam Archo susciperet, et eorum omnium parandorum, quæ expeditioni essent necessaria; ad consulem autem legati ut mitterentur in Thessaliam, qui de hoc Achæorum decreto certiorem illum facerent, et ab eo discerent, quando et quo loco ipsorum copias velit Romano exercitui se conjungere. Ac statim decrevere legatum *Polybium* et alios, summoque studio Polybio mandarunt, ut, si placeat consuli, mitti exercitum, reliquos legatos extemplo mitteret, id renunciaturos, ne serius quam oporteret ad illum copiæ Achaicæ venirent: interea vero prospiceret ipse, ut, quascumque urbes in transitu aditurus esset exercitûs, in iis commeatus haberet, quo ne militibus quidquam deesset. His man-

Ol. 152. 3. Achæorum legati ad Attalum.

τες οἱ προειρημένοι τὰς ἐντολὰς, ἐξώρμησαν. Κατ- 7
έστησαν δὲ καὶ πρεσβευτὰς πρὸς Ἄτταλον τοὺς περὶ
Τηλόκριτον, ἀποκομίζοντας τὸ δόγμα τὸ περὶ τῆς ἀπο-
καταστάσεως τῶν Εὐμένους τιμῶν. Καὶ κατὰ τὸν 8
αὐτὸν καιρὸν καὶ περὶ τοῦ βασιλέως Πτολεμαίου προσ-
πεσόντος τοῖς Ἀχαιοῖς, διότι γέγονεν αὐτῷ τὰ νομι-
ζόμενα γίγνεσθαι τοῖς βασιλεῦσιν, ὅταν εἰς ἡλικίαν
ἔλθωσιν, Ἀνακλητήρια· νομίσαντες, σφίσι καθήκειν ἐπι- 9
σημήνασθαι τὸ γεγονὸς, ἐψηφίσαντο πέμπειν πρεσ-
βευτὰς, ἀνανεωσομένους τὰ προϋπάρχοντα τῷ ἔθνει
φιλάνθρωπα πρὸς τὴν βασιλείαν, καὶ παραυτίκα κατ-
έστησαν Ἀλκίθον καὶ [b]Πασίδαν.

Ptolemæi Philomet. anacleteria.

Polybius legatus ad Marcium Cos.

XI. Οἱ δὲ περὶ τὸν Πολύβιον καταλαβόντες τοὺς
Ῥωμαίους, ἐκ μὲν τῆς Θετταλίας κεκινηκότας, τῆς δὲ
Περραιβίας στρατοπεδεύοντας Ἀζορίου μεταξὺ καὶ
Δολίχης· τὴν μὲν ἔντευξιν ὑπερέθεντο, διὰ τοὺς περιε- 2
στῶτας καιρούς· τῶν δὲ κατὰ τὴν εἴσοδον τὴν εἰς
Μακεδονίαν κινδύνων μετεῖχον. Ἐπεὶ δὲ, τοῦ στρα- 3
τεύματος κατάραντος ἐπὶ τοὺς καθ' [c]Ἡράκλειον τό-
πους, ἔδοξε καιρὸς εἶναι πρὸς ἔντευξιν, ἅτε τοῦ στρα-
τηγοῦ δοκοῦντος ἠνύσθαι τὸ μέγιστον τῶν [d]προκειμένων·
τότε λαβόντες καιρὸν, τὸ ψήφισμα τῷ Μαρκίῳ προσ- 4
ήνεγκαν, καὶ διεσάφουν τὴν τῶν Ἀχαιῶν προαίρεσιν,

[b] Inferius Πασιάδας vocatur. [c] Ἡράκλειον correxi, monente J. Fr. Gron. Vulgo h. l. Ἡράκλειαν. [d] προκειμένων scribendum monuit Jac. Gron. Vulgo παρακειμένων.

datis acceptis, *Polybius* ceterique abiere. Decreverunt insuper Achæi legatum Telocritum ad *Attalum*, qui decretum ei adferret, quo restituti erant Eumeni omnes honores. Per idem tempus quum fama esset adlata Achæis, celebrata fuisse in honorem *Ptolemæi* regis *Anacleteria*, sicut est moris Ægypti regibus, ubi ad legitimam regnandi ætatem pervenerunt; officii sui esse existimantes, ut suæ ob id quod gestum erat lætitiæ significationem darent, legatos decreverunt mittere ad renovandam amicitiam, quæ genti Achæorum erat cum Ægypti regibus. Statim igitur Alcithus et Pasidas sunt delecti.

XI. At *Polybius*, nactus *Romanos* ex Thessalia progressos, et *in Perrhæbia* inter Azorium ac Dolichen stativa habentes; convenire quidem illos propter circumstantia pericula in præsentia omisit; certaminum vero omnium, quæ in Macedoniæ ingressu habita sunt, fuit particeps. Deinde ubi jam *Heracleum* usque exercitus pervenisset, opportunum visum est tempus imperatoris conveniendi, utpote quum videretur Consul partem jam maximam destinatorum confecisse. Tum igitur, ut primum ejus faciendi opportunitatem est nactus, decretum Achæorum *Q. Marcio* tradit, et studium Achæorum illi exponit,

διότι βουληθεῖεν αὐτῷ πανδημεὶ τῶν αὐτῶν μετασχεῖν A. U. 585.
ἀγώνων καὶ κινδύνων· καὶ πρὸς τούτοις ὑπέδειξαν, διότι Achæorum
πᾶν τὸ γραφὲν ἢ παραγγελθὲν τοῖς Ἀχαιοῖς ὑπὸ auxilia non
Ῥωμαίων κατὰ τὸν ἐνεστῶτα πόλεμον ἀναντίρρητον accipit Marcius.
5 γέγονεν. Τοῦ δὲ Μαρκίου τὴν μὲν προαίρεσιν ἀπο-
δεχομένου τῶν Ἀχαιῶν μεγαλωστὶ, τῆς δὲ κακοπα-
θείας αὐτοὺς καὶ τῆς δαπάνης παραλύοντος, διὰ τὸ
μηκέτι χρείαν ἔχειν τοὺς καιροὺς τῆς τῶν συμμάχων
6 βοηθείας· οἱ μὲν ἄλλοι πρέσβεις ἐπανῆλθον εἰς τὴν
Ἀχαΐαν, ὁ δὲ Πολύβιος αὐτοῦ μείνας μετεῖχε τῶν
7 ἐνεστώτων πραγμάτων· ἕως ὁ Μάρκιος, ἀκούσας Ἄπ- Appius
πιον τὸν Κέντωνα πεντακισχιλίους στρατιώτας αἰτεῖσθαι Cento auxilia petit ab
παρὰ τῶν Ἀχαιῶν εἰς Ἤπειρον, ἐξαπέστειλε τὸν προει- Achæis,
ρημένον, παρακαλέσας φροντίζειν, ἵνα μὴ δοθῶσιν οἱ
στρατιῶται, μηδὲ τηλικοῦτον δαπάνημα μάταιον γέ-
νηται τοῖς Ἀχαιοῖς· πρὸς οὐδένα γὰρ λόγον αἰτεῖν τοὺς
8 στρατιώτας τὸν Ἄππιον. πότερα δὲ τοῦτ' ἐποίει κηδό-
μενος τῶν Ἀχαιῶν, ἢ τὸν Ἄππιον ἀπραγεῖν βουλόμενος,
9 χαλεπὸν εἰπεῖν. Πλὴν ὅ γε Πολύβιος, ἀναχωρήσας εἰς
τὴν Πελοπόννησον, ἤδη τῶν γραμμάτων ἐκ τῆς Ἠπείρου
προσπεπτωκότων, καὶ μετ' οὐ πολὺ συναχθέντων εἰς
Σικυῶνα τῶν Ἀχαιῶν, εἰς πρόβλημα παμμέγεθες ἐνέ-
10 πεσε. Τοῦ γὰρ διαβουλίου προτεθέντος ὑπὲρ ὧν ὁ
Κέντων ᾐτεῖτο στρατιωτῶν, [e] ἃ μὲν ὁ Μάρκιος αὐτῷ

[e] ἃ μὲν debetur Ursino. ἅμα μὲν MSti.

qui cum universis suis viribus certaminum ac periculorum omnium fieri participes decreverint. Ad hæc ostendit, quomodo ad omnia, de quibus vel scripsissent, vel aliquod mandatum dedissent Romani, toto belli hujus tempore obsequentes Achæi fuissent. *Marcius*, eorum voluntate verbis magnificis laudata, laboris et impensæ gratiam Achæis fecit, quod nihil jam opus esset amplius ad hoc bellum sociorum auxiliis. Igitur redeuntibus ceteris legatis in Achaiam, *Polybius*, in castris remanens, rebus quæ gerebantur interfuit; donec relatum est Marcio, *Appium Centonem* postulasse ab Achæis, ut quinque millia militum in Epirum sibi mitterent. Tum enimvero Marcius Polybium redire jussit, monuitque, curaret, ne ii milites Appio darentur, neve gens Achæorum impensas adeo graves frustra faceret: nullam enim caussam habere Appium, cur auxiliarem illam manum posceret. Studione erga Achæos hoc ille fecerit, aut ut Appio facultatem res gerendi eriperet, difficile dictu. Ceterum *Polybius* in Peloponnesum reversus, postquam acceptæ jam ex Epiro literæ essent, coacto non multo post Sicyonem Achæorum concilio, in quæstionem ac dubitationem penitus magnam incidit. Nam ubi de *Centonis* postulatis haberi consultatio cœpit;

Ol. 152. 3.

quæ ei negantur, opera Polybii.

καταφροντίζειν [f] ἰδίᾳ ἐνετείλατο, [g] ταῦτ' ἀφροντιστεῖν
οὐδαμῶς ἔκρινεν· τὸ δὲ, μηδεμιᾶς [h] ὑπαρχούσης *,
φανερῶς ἀντιλέγειν τῇ βοηθείᾳ, τελέως ἦν ἐπισφαλές.
Δυσχρήστου δὲ καὶ ποικίλης οὔσης τῆς ὑποθέσεως, 11
ἐχρήσατο βοηθήματι πρὸς τὸ παρὸν τῷ τῆς συγκλήτου
δόγματι, τῷ κελεύοντι μηδένα προσέχειν τοῖς ὑπὸ τῶν
στρατηγῶν γραφομένοις, ἐὰν μὴ τοῦτο ποιῶσιν κατὰ τὸ
δόγμα τῆς συγκλήτου. τοῦτο δ' οὐκ ἦν προσκείμενον 12
τοῖς γράμμασιν. Διὸ καὶ κατεκράτησε τοῦ τὴν ἀνα- 13
φορὰν ἐπὶ τὸν ὕπατον γενέσθαι, καὶ δι' ἐκείνου παρα-
λυθῆναι τῆς δαπάνης τὸ ἔθνος, οὔσης ὑπὲρ ἑκατὸν εἴκοσι
τάλαντα. τοῖς γε μὴν βουλομένοις διαβάλλειν αὐτὸν 14
πρὸς τὸν Ἄππιον, μεγάλας ἀφορμὰς ἔδωκεν, [i] ὅτι δια-
κόψαι τὴν ἐπιβολὴν αὐτοῦ, τὴν περὶ τῆς βοηθείας.

(IV.) Heracleum *Macedoniæ oppidum, capitur a Romanis.*

* * *

XII. [k] Τὸ Ἡράκλειον ἥλω ἰδίαν τινὰ ἅλωσιν. Ἐχού- 2
σης τῆς πόλεως ἐφ' ἑνὸς μέρους, ἐπ' ὀλίγον τόπον,
ταπεινὸν τεῖχος, οἱ Ῥωμαῖοι τρεῖς σημαίας προεχει-

[f] τῇ ἰδίᾳ Bav. [g] ταῦτ' ἀφροντιστεῖν scripsi ex conject. Gronovii: nisi malis ταῦτα μὴ φροντίζειν. Vulgo ταῦτα φροντίζειν absque negatione. [h] Ubi *asteriscum* posui, Ursinus ex ingenio vocab. χρείας inseruit. ἐντολῆς malim, aut ἐπιστολῆς, aut aliquid simile: et pro φανερῶς forte φανερᾶς scribendum. In Bav. major est lacuna ac depravatio: ὑπαρχούσης γῆν τῇ βοηθείᾳ, et desunt interjecta. [i] ἅτε διακόψας Casaub. et seqq. invitis MStis. [k] Probabiliter admodum Fragm. hoc ad Polybium auctorem retulit Valesius.

quæ privatim a Marcio acceperat mandata, nullo quidem modo negligendum putabat: at, quum nullum haberet [scriptum Consulis mandatum,] palam recusare auxilia, hoc vero adprime periculosum erat. In tam difficili et ancipiti deliberatione, ad se expediendum usus est *Polybius* decreto illo senatus, quo erat cautum, ne ullo ratio eorum haberetur, quæ a magistratibus Romanis scriberentur, nisi ex senatusconsulto id facerent. Quod quia literis *Appii Centonis* non erat adjectum; tandem obtinuit *Polybius*, ut res ad consulem referretur, et per illum Achæi impensa, quæ centum et viginti talentorum summam superabat, liberarentur. At si quis de ipso detrahere apud Appium vellet, ei benignam materiam hoc pacto suppeditavit, utpote qui inceptum illius de impetrandis auxiliis fregisset.

(IV.) *Suidas in* Σημαία *et in* Κεραμωτόν.

* * *

XII. *Heracleum* oppidum nova quadam et inusitata ratione captum est. Quum oppidum ab una parte, per breve aliquod spatium, murum haberet humilem; Romani, delectis tribus militum signis, oppidum ab illa muri

3 ρίσαντο. Καὶ τῇ μὲν πρώτῃ τοὺς θυρεοὺς ὑπὲρ τῆς κεφαλῆς ποιήσαντες συνέφραξαν, ὥστε τῇ τῶν ὅπλων πυκνότητι κεραμωτῷ καταῤῥύτῳ γίγνεσθαι παραπλήσιον· A. U. 585.
4 ἐφεξῆς δὲ ἕτεραι δύο * * *.

*

5 Κεραμωτὸν, τακτικὴ διάταξις· ὅπερ ἐποίουν Ῥωμαῖοι ἐν παιδιᾶς μέρει.

III.

RES CRETENSIUM.

* * *

XIII. ΚΑΤΑ τὴν Κρήτην, δεδιότες Κυδωνιᾶται τοὺς Γορτυνίους, διὰ τὸ καὶ [1]τῷ πρότερον ἔτει παρ' ὀλίγον κεκινδυνευκέναι τῇ πόλει, τῶν περὶ Νοθοκράτην ἐπιβαλλομένων αὐτὴν κατασχεῖν, ἐξέπεμψαν πρέσβεις πρὸς Εὐμένη, βοήθειαν αἰτούμενοι κατὰ τὴν συμμαχίαν. *Cydonii adv. Gortynios opem petunt ab Eumene.*
2 Ὁ δὲ βασιλεὺς προχειρισάμενος Λέοντα, καὶ στρα-
3 τιώτας σὺν τούτῳ τ', ἐξαπέστειλε κατὰ σπουδήν. Ὧν παραγενομένων, οἱ Κυδωνιᾶται τάς τε κλεῖς τῶν πυλῶν τῷ Λέοντι παρέδωκαν, καὶ καθόλου τὴν πόλιν ἐνεχείρισαν..

[1] τῷ πρότερον ἔτει ex conject. scripsi. καὶ πρότερον ἔτι Urs. καὶ τὸ πρότ. ἔτι Bav. Verum jam viderat Reisk.

parte adgressi sunt. Primi signi milites, densatis supra capita scutis, *testudinem* fecerunt ejusmodi, quæ *speciem* præbebat *tecti imbricati*, per quod pluvia delabitur: deinde reliqua duo signa * *.

*

Fastigiata testudo, speciem tecti ædificiorum referens: genus exercitii tactici, quo velut ludicro circensi utuntur Romani.

III.

Legatio LXXIX.

* * *

XIII. IN CRETA, *Cydoniatæ*, metuentes sibi a *Gortyniis*, a quibus jam superiori anno, ne caperetur ipsorum urbs, in præsentissimum periculum venerat, quando eam occupare Nothocrates est adgressus: legatos ad *Eumenem* miserunt, auxilium ex fœdere eum poscentes. Rex Leonem ducem delegit, quem eo celeriter cum trecentorum militum manu misit. Id ubi advenit præsidium, *Cydoniatæ* portarum claves Leoni tradiderunt, et universam civitatem ejus curæ permiserunt.

Ol. 152. 3.

IV.

RES RHODIORUM.

* * *

Rhodiorum legatio ad Romanos.

XIV. ΕΝ τῇ Ῥόδῳ τὰ τῆς ἀντιπολιτείας ἀεὶ μᾶλλον ἐπέτεινεν. Προσπεσόντος γὰρ αὐτοῖς τοῦ τῆς συγκλήτου 2
δόγματος, ἐν ᾧ διεσάφει, μηκέτι προσέχειν τοῖς τῶν στρατηγῶν ἐπιτάγμασιν, ἀλλὰ τοῖς αὐτῆς δόγμασιν· καὶ τῶν πολλῶν ἀποδεχομένων τὴν τῆς συγκλήτου πρόνοιαν· οἱ περὶ τὸν Φιλόφρονα καὶ Θεαίτητον, ἐπιλαβό- 3
μενοι τῆς ἀφορμῆς ταύτης, ἐξειργάζοντο τ' ἀκόλουθα, φάσκοντες, δεῖν ἐκπέμπειν πρεσβευτὰς πρὸς τὴν σύγκλητον καὶ τὸν Κόϊντον Μάρκιον τὸν ὕπατον, καὶ πρὸς Γάϊον τὸν ἐπὶ τοῦ ναυτικοῦ. Τότε γὰρ ἤδη γνώριμον 4
ἦν ἅπασιν, ὥς τινες τῶν καθεσταμένων ἀρχόντων ἐν τῇ Ῥώμῃ παραγίγνεσθαι μέλλουσιν εἰς τοὺς κατὰ τὴν Ἑλλάδα τόπους. [m] Κροτηθείσης δὲ τῆς ὑποθέσεως, 5
καίπερ ἀντιῤῥήσεως γενομένης, ἀπεστάλησαν εἰς μὲν τὴν Ῥώμην, ἀρχομένης θερείας, [n] Ἡγησίλοχος Ἡγησίου, Νικαγόρας, [o] Νίκανδρος· πρὸς δὲ τὸν ὕπατον καὶ τὸν 6
ἐπὶ τοῦ ναυτικοῦ στρατηγὸν, [p] Ἀγέπολις, Ἀρίστων, Παγκράτης· ἐντολὰς ἔχοντες, ἀνανεοῦσθαι τὰ φιλ- 7
άνθρωπα πρὸς Ῥωμαίους, καὶ πρὸς τὰς διαβολὰς ἀπο-

Hegesilochus et Agepolis, legati.

[m] Κρατηθείσης edd. ex Ursini ingenio. [n] Ἡγεσίλοχος h. l. Bav. et debuerat fortasse Ἀγεσίλοχος. [o] Sic Bav. Male vulgo Νικαγόρας Νικάνδρου. [p] Sic h. l. et deinde erat in cod. Ursini. Ἀγόπολις Bav. Ἀγεσίπολις edebatur invitis MStis.

IV.

Legatio LXXX.

* * *

XIV. GLISCEBANT *Rhodi* magis magisque in dies contrariæ factiones. Nam quum ad eos perlata esset fama senatusconsulti, quo edixerant patres, *non ducum Romanorum jussis, verum senatusconsultis posthac esse parendum*; vulgo omnibus senatus prudentiam laudantibus, Philophron et Theætetus, hac occasione arrepta, pergebant porro in suo proposito, dicebantque, legatos ad senatum esse mittendos, et ad consulem *Q. Marcium Philippum*, nec non ad *Caium* [*Marcium Figulum*,] cui classis provincia erat. Jam tum enim omnibus notum erat, quosdam ex iis magistratibus, qui recenter Romæ inierant, in Græciæ regiones fore venturos. Hæc sententia quum, nonnullis licet contradicentibus, plurimorum tamen plausu esset excepta; Romam ineunte æstate missi sunt Hegesilochus, Hegesiæ filius, Nicagoras, Nicander: ad consulem vero, et ad classis præfectum, Agepolis, Ariston, Pancrates. Mandatum his omnibus erat, ut amicitiam cum populo Romano renovarent, utque criminationibus iis responderent, quibus non-

λογεῖσθαι, τὰς λεγομένας ὑπό τινων κατὰ τῆς πόλεως· A. U. 584.
8 οἱ δὲ περὶ τὸν [q]Ἀγεσίλοχον, ἅμα τοῖς προειρημένοις,
9 καὶ περὶ σιτικῆς ἐξαγωγῆς ποιησόμενοι λόγους. Τὰ Polybii
μὲν οὖν ὑπὸ τούτων ῥηθέντα πρὸς τὴν σύγκλητον, καὶ ratio digerendi historiam
τὰς δοθείσας αὐτοῖς ἀποκρίσεις ὑπὸ τῆς συγκλήτου, καὶ synchronisticam.
διότι πάντων τῶν φιλανθρώπων τυχόντες ἐπανῆλθον, ἐν
10 τοῖς Ἰταλικοῖς εἴπομεν. Περὶ δὲ τούτου τοῦ μέρους
χρήσιμόν ἐστι πλεονάκις ὑπομιμνήσκειν, ὃ δὴ καὶ πει-
ρώμεθα ποιεῖν, διότι πολλάκις ἀναγκαζόμεθα, τὰς
ἐντεύξεις τῶν πρεσβειῶν καὶ τοὺς χρηματισμοὺς προ-
τέρους ἐξαγγέλλειν τῆς καταστάσεως καὶ τῆς ἐξαπο-
11 στολῆς. Ἐπεὶ γὰρ, καθ' ἕκαστον ἔτος τὰς κατ'
ἀλλήλων πράξεις γράφοντες, πειρώμεθα ἐν ἑνὶ καιρῷ
συγκεφαλαιοῦσθαι τὰς παρ' ἑκάστοις πράξεις· δῆλον,
ὡς ἀναγκαῖόν ἐστι τοῦτο συμβαίνειν περὶ τὴν γραφήν.

XV. Οἱ δὲ περὶ τὸν Ἀγέπολιν, ἀφικόμενοι πρὸς τὸν Q. Marcius
Κόϊντον, καταλαβόντες αὐτὸν ἐν Μακεδονίᾳ πρὸς [r]Ἡρά- ad Heracleum,
κλειον στρατοπεδεύοντα, διελέγοντο περὶ ὧν εἶχον τὰς
2 ἐντολάς. Ὁ δὲ, διακούσας, οὐχ οἷον αὐτὸς ἔφη προσ-
έχειν ταῖς διαβολαῖς, ἀλλὰ κἀκείνους παρεκάλει, μηδ- benigne
ενὸς ἀνέχεσθαι τῶν λέγειν τι τολμώντων κατὰ Ῥω- respondet Rhodiis.
μαίων, καὶ πολλὰ καθόλου τῶν εἰς φιλανθρωπίαν ἡκόν-
3 των ἐπεμέτρησεν. ἔγραψε δὲ ταῦτα καὶ πρὸς τὸν [s]δῆμον

[q] Sic h. l. uterque cod. MStus. Vulgo Ἡγησίλοχον, ex Ursini emend. [r] Ἡράκλειον correxi. Vulgo Ἡράκλειαν. [s] δῆμον τῶν Ῥοδίων utique fuit corrigendum. Corrupte vulgo Ῥωμαίων.

nulli civitatem onerabant. Hegesilocho vero hoc insuper negotii impositum, ut de exportando frumento cum Romanis ageret. Quos igitur sermones apud senatum isti legati habuerint, quæ a patribus responsa tulerint, et quomodo omne genus humanitatis et comitatis experti redierint, in expositione *rerum Italicarum* jam diximus. Est vero lector nobis sæpe hujus rei admonendus, sicut etiam studiose facimus, quod non raro orationes habitas a legatis et data illis responsa cogimur prius exponere, quam de ipsorum legatione decreta et de missione verba fecerimus: quoniam enim per annos singulos res, quæ tempore inter se congruunt, ita perscribimus, ut, quæ apud quemque populum gesta sunt, ea uno continuo tenore persequi conemur; perspicuum est, id in hac scriptione ita necessario evenire.

XV. *Agepolis* ut ad *Q. Marcium* venit, quem in Macedonia est adsecutus ad *Heracleum* castra habentem, mandata sua illi exposuit. Quibus auditis, consul non solum dixit nullam se iis fidem habere, qui de Rhodiis detraherent; sed legatos etiam est hortatus, ne quemquam eorum ferrent, qui de Romanis blaterare auderent, multaque omnino humanitatis officia cumulate iis præstitit. Scripsitque

Ol. 152. 3.

τῶν Ῥοδίων. Τοῦ δ' Ἀγεπόλιδος ἐψυχαγωγημένου 4
κατὰ τὴν ὅλην ἀπάντησιν ἰσχυρῶς, λαβὼν αὐτὸν κατ'
ἰδίαν εἰς τὰς χεῖρας ὁ Κόϊντος, θαυμάζειν ἔφη, πῶς οὐ
πειρῶνται διαλύειν οἱ Ῥόδιοι [t] τὸν ἐνεστῶτα πόλεμον,
μάλιστα τοῦ πράγματος ἐκείνοις καθήκοντος. Πότερα 5
δὲ τοῦτ' ἐποιεῖτο, Ἀντίοχον ὑποπτεύων, μή ποτε, κρα-
τήσας τῆς Ἀλεξανδρείας, βαρὺς ἔφεδρος αὐτοῖς γένηται
τοῦ πρὸς τὸν Περσέα πολέμου, χρόνον λαμβάνοντος·
ἤδη γὰρ τότε συνέβαινε συγκεχύσθαι τὸν περὶ Κοίλης 6
Συρίας πόλεμον· ἤ, θεωρῶν ὅσον οὔπω κριθησόμενα τὰ 7
κατὰ τὸν Περσέα, τῶν Ῥωμαϊκῶν στρατοπέδων ἐν Μα-
κεδονίᾳ παραβεβληκότων, καὶ καλὰς ἐλπίδας ἔχων ὑπὲρ
τῶν ἀποβησομένων, ἐβούλετο τοὺς Ῥοδίους [u] προνύξας 8
μεσίτας ἀποδεῖξαι, καὶ τοῦτο πράξαντας, δοῦναι τοῖς
Ῥωμαίοις ἀφορμὰς εὐλόγους εἰς τὸ βουλεύεσθαι περὶ
αὐτῶν, [x] ὡς ἂν αὐτοῖς φαίνηται· τὸ μὲν ἀκριβὲς οὐ 9
ῥᾴδιον εἰπεῖν, δοκῶ δὲ μᾶλλον τὸ τελευταῖον εἰρημένον,
ἐξ ὧν ἐμαρτύρησε τὰ μετ' ὀλίγον συμβάντα τοῖς Ῥο-
δίοις. Οἵ γε περὶ τὸν Ἀγέπολιν, ἐξαυτῆς βαδίσαντες 10
πρὸς τὸν Γάϊον, καὶ πάντων τυχόντες τῶν φιλανθρώπων
ὑπερβολικώτερον, ἢ παρὰ τῷ Μαρκίῳ, ταχέως εἰς τὴν

Commendat eis res Cœlesyriæ.

[t] Ad verba τὸν ἐνεστῶτα πόλεμον intercidit nonnihil, nisi huc reponenda sunt ex vers. 6. verba ἤδη γὰρ τότε &c. [u] προνύξας ex MStis revocavi. Vulgo παροξύνας ex Ursini ing. qui et παρανύξας suspicatus fuisse videtur. [x] ὡς ἐὰν dant MSti.

etiam de iisdem rebus ad populum Rhodium. Quum autem Agepolis comitate consulis, quam hoc congressu omnibus in rebus experiebatur, mirifice captus esset; seducit eum *Marcius* ad familiare colloquium, et, *mirari se*, ait, *cur Rhodii imminens bellum componere non conarentur: id enim ipsis vel maxime convenire.* Hoc vero quo animo consul dixerit; utrumne, quod Antiochi animum suspectum haberet, ne forte, si Alexandria esset potitus, bello adversus Persea moram trahente, infestus ac gravis hostis Romanis immineret; (jam tum enim conflatum *bellum pro Cœlesyria* erat;) an quod, videns brevi de summa rerum decretum iri cum Perseo, postquam Romanæ legiones in Macedoniam jam pervenissent, spemque magnam de victoria conceptam habens, stimulare voluerit Rhodios, quo se medios interponerent inter reges, atque eo pacto occasionem Romanis darent, statuendi de ipsis prout vellent; utrum, inquam, horum cogitarit, pro certo confirmari non potest: verumtamen, quod posterius dixi, puto verius; idque Rhodiorum casus confirmant, qui paullo post illis acciderunt. *Agepolis* ad Caium classi præfectum mox profectus, benigneque ab eo habitus, ac multo etiam comius, quam fuisset a Marcio, brevi Rhodum

11 Ῥόδον ἀνεχώρησαν. Γιγνομένης δὲ τῆς ἀποπρεσβείας, A. U. 585.
καὶ τῆς τε διὰ τῶν λόγων φιλανθρωπίας, καὶ τῆς διὰ Rhodum
τῶν ἀποκρίσεων εὐνοίας ἑκατέρων τῶν στρατηγῶν ἐφα- redeunt
μίλλου γενομένης, ὀρθοὶ καὶ μετέωροι ταῖς διανοίαις legati.
12 ἐγενήθησαν οἱ Ῥόδιοι· οὐ μὴν πάντες ὡσαύτως. Οἱ
μὲν γὰρ ὑγιαίνοντες περιχαρεῖς ἦσαν ἐπὶ τῇ φιλαν-
θρωπίᾳ τῶν Ῥωμαίων· οἱ δὲ κινηταὶ καὶ καχέκται
συνελογίζοντο παρ' αὐτοῖς, σημεῖον εἶναι τὴν ὑπερβολὴν
τῆς φιλανθρωπίας τοῦ δεδιέναι τὴν περίστασιν τοὺς
Ῥωμαίους, καὶ μὴ χωρεῖν αὐτοῖς τὰ πράγματα κατὰ
13 λόγον. Ὅτε δὲ καὶ τὸν Ἀγέπολιν συνέβη παραφθέγ-
ξασθαι πρός τινας τῶν φίλων, ὅτι παρὰ τοῦ Μαρκίου
κατ' ἰδίαν ἐντολὰς εἴληφε, μνημονεύειν πρὸς τὴν βουλὴν
14 ὑπὲρ τοῦ διαλύειν τὸν πόλεμον· τότε δὴ τελέως οἱ περὶ
τὸν Δείνωνα συνέθεσαν ἐν κακοῖς μεγάλοις εἶναι τοὺς
15 Ῥωμαίους· ἀπέστειλαν δὲ καὶ πρεσβευτὰς εἰς τὴν
Ἀλεξάνδρειαν, τοὺς διαλύσοντας τὸν ἐνεστῶτα πόλεμον
Ἀντιόχῳ καὶ Πτολεμαίῳ.

est reversus. Ubi postquam legationem renunciasset, quum viderentur ambo duces Romani in comitate atque humanitate verbis declaranda, et benevolentia in responso significanda, ex æquo invicem certasse; erigi animis omnes Rhodii, ac vana spe inflari: at non omnes eodem modo. Nam pars sanior, ob Romanorum benignitatem lætitia gestiebat: contra, qui rerum novarum cupidi erant, et male adfecti, ii cogitare apud se instituerunt, ingentem hanc supra modum comitatem Romanorum indicio esse, terreri ipsos imminenti periculo, neque ex animi sententia res ipsis succedere. Postea vero quam insuper *Agepolis* apud nonnullos ex amicis, velut aliud agendo, mentionem fecisset mandati, privatim sibi a Marcio dati, ut in senatu Rhodiorum de componenda pace inter reges mentionem faceret; tum enimvero nihil dubitare *Dino*, quin pessimo loco res Romanorum essent: miserunt vero *Rhodii* etiam legatos Alexandriam, ad dirimendum *bellum*, quod *inter Antiochum et Ptolemæum* erat conflatum.

Ol. 152. 3.

V.

RES SYRIÆ ET ÆGYPTI.

Antiochus Epiphanes majorem partem Ægypti occupat.

* * *

Ad Antiochum mittuntur legationes

XVI. ΜΕΤΑ τὸ παραλαβεῖν Ἀντίοχον τὰ κατὰ τὴν
Αἴγυπτον, ἔδοξε τοῖς περὶ τὸν Κομανὸν καὶ [y]Κινέαν,
συνεδρεύσασι μετὰ τοῦ βασιλέως, κοινοβούλιον κατα-
γράφειν ἐκ τῶν ἐπιφανεστάτων ἡγεμόνων, τὸ βουλευ-
σόμενον περὶ τῶν ἐνεστώτων. Πρῶτον οὖν ἔδοξε τῷ 2
συνεδρίῳ, τοὺς ἀπὸ τῆς Ἑλλάδος παρεπιδημήσαντας
πέμπειν πρεσβευτὰς ὡς τὸν Ἀντίοχον, κοινολογησο-
μένους ὑπὲρ διαλύσεως. Ἦσαν δὲ τότε παρὰ μὲν τοῦ 3
κοινοῦ τῶν Ἀχαιῶν πρεσβεῖαι δισσαὶ, μία μὲν ὑπὲρ
τῆς τῶν φιλανθρώπων ἀνανεώσεως, [z]ἣν ἐπρέσβευον [a]Ἀλ-
κίθος Ξενοφῶντος, Αἰγιεὺς, καὶ [b]Πασιάδας· ἄλλη δὲ
περὶ τοῦ τῶν [c]Ἀντιγονείων ἀγῶνος. Ἦν δὲ καὶ παρὰ 4
Ἀθηναίων πρεσβεία περὶ δωρεᾶς, ἧς ἡγεῖτο Δημάρατος·
καὶ θεωρίαι δισσαὶ, μία μὲν ὑπὲρ τῶν [d]Παναθηναίων,
ἧς προειστήκει Καλλίας ὁ παγκρατιαστὴς, ἡ δ' ἄλλη
περὶ μυστηρίων, ὑπὲρ ἧς Κλεόστρατος ἐποιεῖτο τὸν χρη-
ματισμὸν καὶ τοὺς λόγους. Ἐκ δὲ Μιλήτου παρῆσαν 5
Εὔδημος καὶ [e]Ἱκέσιος· ἐκ δὲ Κλαζομενῶν, Ἀπολλωνί-

Græcorum qui in Ægypto aderant;

[y] Κινέαν ab Ursino est. Κιναίαν dant libri. [z] εἰς ἣν dant libri. Præpositionem delevit Ursinus. [a] Ἀλκήθης h. l. Bav. Ἀλκίθης ex suo cod. citat Ursin. [b] Πασίδας scriptum est superius. [c] Ἀντιγονείων correxi cum Reisk. ἀντιγονεστῶν est in libris: unde ἀνταγωνιστῶν fecit Ursinus. [d] Παναθηναίων correxit Urs. παρὰ Ἀθηναίων MSti. [e] Ἱκέσιος Casaub. et seqq. Ἱκεσίας voluit Reisk.

V.

Legatio LXXXI.

* * *

XVI. POSTEAQUAM *Ægyptus ab Antiocho* fuit *occupata*, Comano et Cinea de summa rerum cum rege consultantibus, visum est faciendum, ut concilium ex illustrissimis quibusque ducibus conscriberetur, de cujus sententia omnia deinceps gererentur. Ei concilio ante omnia placuit, ut advenæ Græci, qui forte ibi reperiebantur, legati ad Antiochum proficiscerentur, de pace cum eo acturi. Erant autem tunc eo loci *legationes* duæ ab *Achæorum* gente missæ, una ad renovandam cum rege amicitiam, quæ mandata fuerat Alcitho Xenophontis filio, Ægiensi, et Pasiadæ; altera legatio, de *Antigoniorum* solennibus. Erat et missa ab *Atheniensibus* de donatione quadam legatio, cujus princeps Demaratus: item sacræ legationes ab iisdem duæ, una, de festo *Panathenæorum*, cujus caput fuit Callias quinquertio; altera, de mysteriis, quam obibat Cleostratus, qui super eo ad regem orationem habuit. *Mileto* aderant Eudemus et Icesius; *Clazomenis*, Apollonides et

δης καὶ Ἀπολλώνιος. Ἐξαπέστειλε δὲ καὶ ὁ βασιλεὺς Τληπόλεμον καὶ Πτολεμαῖον τὸν ῥήτορα πρεσβευτάς. A. C. 169. et Ptolemæi legati.
7 Οὗτοι μὲν οὖν ἔπλεον ἀνὰ τὸν ποταμὸν εἰς τὴν ἀπάντησιν.

XVII. [[f] Συναψάντων δὲ τῶν πρεσβευτῶν τῷ Ἀντιόχῳ· ὁ βασιλεὺς] ἀποδεξάμενος τοὺς ἄνδρας φιλανθρώπως, τὴν μὲν πρώτην ὑποδοχὴν αὐτῶν ἐποιήσατο Legati Græcorum deprecantur pro Ptolemæo.
2 μεγαλομερῆ· κατὰ δὲ τὴν ἑξῆς ἔδωκεν ἔντευξιν, καὶ
3 λέγειν ἐκέλευσε, περὶ ὧν ἔχουσι τὰς ἐντολάς. Πρῶτοι μὲν οὖν οἱ παρὰ τῶν Ἀχαιῶν ἐποιήσαντο λόγους, τούτοις δ' ἑξῆς Δημάρατος ὁ παρὰ τῶν Ἀθηναίων, μετὰ
4 δὲ τοῦτον Εὔδημος ὁ Μιλήσιος. Πάντων δὲ πρὸς τὸν αὐτὸν καιρὸν καὶ τὴν αὐτὴν ὑπόθεσιν διαλεγομένων, παραπλησίους εἶναι συνέβαινε καὶ τοὺς κατὰ μέρος
5 αὐτῶν λόγους. Τὴν μὲν γὰρ αἰτίαν τῶν συμβεβηκότων Eulæus, auctor belli. πάντες [g] ἀνέφερον ἐπὶ τοὺς περὶ τὸν Εὐλαῖον· τὴν δὲ συγγένειαν καὶ τὴν ἡλικίαν τὴν τοῦ Πτολεμαίου προ-
6 φερόμενοι, παρῃτοῦντο τὴν ὀργὴν τοῦ βασιλέως. Ἀντίοχος δὲ, πᾶσι τούτοις ἀνθομολογησάμενος, καὶ προσαυξήσας τὴν ἐκείνων ὑπόθεσιν, ἤρξατο λέγειν ὑπὲρ τῶν ἐξ ἀρχῆς δικαίων, δι' ὧν ἐπειρᾶτο συνιστάνειν τῶν ἐν Συρίᾳ βασιλέων ὑπάρχουσαν κτῆσιν τῶν κατὰ Κοίλην Antiochi jura in Cœlesyriam.

[f] Vulgo ab hoc Capite, perinde ac si non cohæreret cum præcedenti, incipitur nova Ecloga, cujus initium hoc fecit Epitomator: Ὅτι κατὰ τὸν καιρὸν, ὅτε Ἀντίοχος τὴν Αἴγυπτον παρέλαβε. συνῆψαν τῶν ἀπὸ τῆς Ἑλλάδος πρεσβευτῶν οἱ πεμφθέντες ἐπὶ τὰς διαλύσεις. ἀποδεξάμενος δὲ τοὺς ἄνδρας φιλανθρώπως &c. Quorum verborum loco ex conjectura posuimus ea, quæ uncis sunt inclusa. [g] ἀνέφερον correxit Ursin. ἔφερον erat in libris.

Apollonius. Cum his legatos misit rex etiam Tlepolemum et Ptolemæum rhetorem. Hi igitur adverso flumine navigarunt, ut Antiochum convenirent.

(*Legatio LXXXII.*)

XVII. Postquam advenerunt apud *Antiochum* legati; rex benigne susceptos primo die ad epulas magnifice structas invitavit: postridie vero sui conveniendi potestatem fecit, et mandata jussit expromere. Primi igitur omnium verba apud regem fecerunt legati Achæorum; deinde Atheniensium, Demaratus; secundum hos Eudemus Milesius. Qui quum sub idem tempus eadem de re omnes dissererent, eveniebat, ut rationes, quas singuli adferebant, perquam similes essent. Omnes enim belli suscepti culpam in *Eulæum* conferebant: dein cognationem atque ætatem Ptolemæi allegantes, regis iram deprecabantur. *Antiochus* quum orationibus illorum esset adsensus, atque ipse etiam plura in eamdem sententiam disseruisset; jura sua ab ipsis initiis exponere cœpit, probare contendens, *pertinere ad Syriæ reges Cœlæ Syriæ possessionem*

Ol. 152. 3. Συρίαν τόπων· ἰσχυροποιῶν μὲν τὰς ἐπικρατείας τὰς 7
Ἀντιγόνου, τοῦ πρώτου κατασχόντος τὴν ἐν Συρίᾳ
βασιλείαν, προφερόμενος δὲ τὰ συγχωρήματα, τὰ γενό-
μενα Σελεύκῳ διὰ τῶν ἀπὸ Μακεδονίας βασιλέων μετὰ
τὸν Ἀντιγόνου θάνατον· ἑξῆς δὲ τούτοις ἀπερειδόμενος 8
ἐπὶ τὴν τελευταίαν κατὰ πόλεμον Ἀντιόχου τοῦ πατρὸς
[h]ἔγκτησιν· ἐπὶ δὲ πᾶσιν ἐξαρνούμενος τὴν ὁμολογίαν, 9
ἣν ἔφασαν οἱ κατὰ τὴν Ἀλεξάνδρειαν γενέσθαι Πτο-
λεμαίῳ, τῷ νεωστὶ μετηλλαχότι, πρὸς Ἀντίοχον τὸν
ἐκείνου πατέρα, ὅτι δεῖ λαβεῖν αὐτὸν ἐν φερνῇ Κοίλην
Συρίαν, ὅτε ἐλάμβανε Κλεοπάτραν, τὴν τοῦ νῦν βασι-
λεύοντος μητέρα. Πρὸς ταύτην τὴν ὑπόθεσιν διαλεχθεὶς, 10
καὶ πείσας οὐ μόνον αὐτὸν, ἀλλὰ καὶ τοὺς ἀπηντηκό-
τας, ὡς δίκαια λέγει, τότε μὲν διέπλευσεν εἰς τὴν
Ναύκρατιν. χρησάμενος δὲ καὶ τούτοις φιλανθρώπως, 11
καὶ δοὺς ἑκάστῳ τῶν Ἑλλήνων τῶν κατοικούντων χρυ-
σοῦν, προῆγεν ἐπὶ τῆς Ἀλεξανδρείας. τοῖς δὲ πρεσ- 12
βευταῖς τὴν ἀπόκρισιν ὑπέσχετο δώσειν, ὅταν οἱ περὶ
τὸν Ἀριστείδην καὶ Θῆριν ἀνακάμψωσιν ὡς αὐτόν.
ἐξαπεσταλκέναι γὰρ ἐκείνους ἔφη πρὸς τὸν Πτολεμαῖον, 13
βούλεσθαι δὲ πάντων συνίστορας εἶναι καὶ μάρτυρας
τοὺς ἀπὸ τῆς Ἑλλάδος πρεσβευτάς.

Alexandriam pergit Antiochus.

h ἔγκτησιν correxit Ern. Vulgo ἔκτησιν. ἔκτισιν Bav. ἐκείνου κτῆσιν suspicatus erat Reisk.

τὴν Ῥώμην, καὶ λαβὼν εἰς τὰς χεῖρας τὸν Ἄτταλον,
πολλοὺς μὲν καὶ ποικίλους διέθετο λόγους· καὶ ἦν ὁ
4 ἄνθρωπος ἔχων τι νουνεχὲς καὶ πειστικόν· μόγις δὲ
καθίκετο τῆς προθέσεως, καὶ μετεκάλεσε τὸν Ἄτταλον
ἀπὸ τῆς ἀλόγου [f]φορᾶς, θεὶς ὑπὸ τὴν ὄψιν, ὅτι κατὰ Attalum
μὲν τὸ παρὸν συμβασιλεύει τ' ἀδελφῷ, τούτῳ διαφέρων admonet
ἐκείνου, τῷ μὴ διάδημα περιτίθεσθαι, μηδὲ χρηματίζειν Stratius.
βασιλεὺς, τὴν δὲ λοιπὴν ἴσην καὶ τὴν αὐτὴν [g]ἔχειν
5 ἐξουσίαν· εἰς δὲ τὸ μέλλον ὁμολογουμένως καταλεί-
πεται διάδοχος τῆς ἀρχῆς, οὐ μακρὰν [h]ταύτης τῆς
ἐλπίδος ὑπαρχούσης, ἅτε τοῦ βασιλέως διὰ μὲν τὴν
σωματικὴν ἀσθένειαν ἀεὶ προσδοκῶντος τὴν ἐκ τοῦ βίου
μετάστασιν, διὰ δὲ τὴν ἀπαιδίαν, οὐδ', εἰ βουληθείη,
6 δυναμένου τὴν ἀρχὴν ἄλλῳ καταλιπεῖν. οὐδέπω γὰρ
ἀναδεδειγμένος ἐτύγχανε κατὰ φύσιν υἱὸς ὢν αὐτῷ, ὁ
7 μετὰ ταῦτα διαδεξάμενος τὴν ἀρχήν. Τὸ δὲ συνέχον,
[i]θαυμάζειν ἔφη, πόσα βλάπτει τοὺς ἐνεστῶτας καιρούς.
8 μεγάλην γὰρ [k]εἰδέναι πᾶσι τοῖς θεοῖς χάριν, εἰ συμ-
πνεύσαντες καὶ μιᾷ γνώμῃ χρώμενοι δύναιντο τὸν ἀπὸ

[e] εἰσενέγκασθαι recepi ex Bav. Vulgo ὑπενέγκ. [f] φορᾶς et συμβασιλεύει et ἐκείνου correxit Ursinus. In MStis erat φρουρᾶς et συμβουλεύει et ἐκεῖνα (sic). [g] Forsan ἔχει scribendum cum Reiskio. [h] Articulum τῆς inserui cum Reisk. [i] Post θαυμάζειν ἔφη excidisse verba εἰ ἀγνοεῖ suspicatus est idem Reisk. [k] εἰδέναι ex Ursini conject. adscivit Casaub. In MStis est εἶναι, quod servari fortasse debuerat. δεῖν εἰδέναι voluit Gronov.

dustriam omnem suam ut in eo poneret, ne Attalus eorum sequeretur consilia, qui ipsorum regnum perditum cupiebant. Is Romam ut venit, multos ac varios cum *Attalo* sermones privatim ac familiariter habuit: et erat *Stratius* vir prudentiæ cujusdam singularis, et ad persuadendum efficax. Atque ægre ille quidem, sed tamen perfecit quod destinaverat, et Attalum ab illo parum sano impetu revocavit. Posuerat enim ei ob oculos, *jam in præsentia regnare ipsum non minus quam fratrem, a quo hoc dumtaxat differat, quod capitis insigne non gerat, neque rex audiat; cetera par atque idem utrique esse imperium. In posterum vero regni non dubium successorem ipsum relinqui: neque eam spem abesse longe, quum propter infirmitatem corporis vitæ finem in dies exspectet Eumenes; qui, liberos nullos habens, ne si cupiat quidem, regnum aliis possit relinquere.* (Necdum enim tunc in lucem editus erat ille Eumenis filius, qui ei postea in regnum successit.) *Hoc vero unicum præcipue mirari se*, ait Stratius, *cur hoc potissimum tempore tantum communi regno periculum iret creatum: quippe diis omnibus maximas fore agendas gratias, si consentientes ambo atque animis invicem juncti præsentem Gala-*

Ol. 153. 1. Γαλατῶν φόβον ἀπώσασθαι, καὶ τὸν ἀπὸ τούτων ἐφε-
στῶτα κίνδυνον· εἰ δὲ νῦν εἰς στάσιν καὶ διαφορὰν ἥξει 9
πρὸς τὸν ἀδελφὸν, πρόδηλον εἶναι, διότι καταστρέψει
τὴν βασιλείαν, καὶ στερήσει μὲν αὑτὸν καὶ τῆς παρ-
ούσης ἐξουσίας καὶ τῆς εἰς τὸ μέλλον ἐλπίδος, στερήσει
δὲ καὶ τοὺς ἀδελφοὺς τῆς ἀρχῆς καὶ τῆς ἐν αὐτῇ δυνα-
στείας. Ταῦτα δὲ καὶ τούτοις ἕτερα παραπλήσια 10
διατιθέμενος ὁ Στράτιος, ἔπεισε τὸν Ἄτταλον, μένειν
ἐπὶ τῶν ὑποκειμένων.

Attali oratio apud senatum.

III. Διόπερ εἰσελθὼν εἰς τὴν σύγκλητον ὁ προειρη-
μένος, συνεχάρη μὲν ἐπὶ τοῖς γεγονόσιν, καὶ περὶ τῆς
καθ' αὑτὸν εὐνοίας καὶ προθυμίας, ἣν παρέσχετο εἰς τὸν
κατὰ τὸν Περσέα πόλεμον, ἀπελογίσατο· παραπλησίως 2
δὲ καὶ περὶ τοῦ πέμψαι πρεσβευτὰς, τοὺς παρακαθέ-
ξοντας τὴν τῶν Γαλατῶν ἀπόνοιαν, καὶ πάλιν εἰς τὴν ἐξ
ἀρχῆς αὐτοὺς ἀποκαταστήσοντας διάθεσιν, παρεκάλεσε
διὰ πλειόνων. Ἐποιήσατο δὲ λόγους καὶ περὶ τῆς 3
[1]Αἰνίων καὶ τῆς Μαρωνιτῶν πόλεως, ἀξιῶν αὑτῷ δοθῆναι
ταύτας ἐν δωρεᾷ. Τὸν δὲ κατὰ τοῦ βασιλέως λόγον, 4
καὶ τὸν περὶ τοῦ μερισμοῦ τῆς ἀρχῆς, εἰς τέλος παρε-
σιώπησεν. Ἡ δὲ σύγκλητος, ὑπολαμβάνουσα πάλιν 5
αὐτὸν ἰδίᾳ περὶ τούτων εἰσπορεύσεσθαι, τούς τε πρεσ-
βευτὰς συμπέμψειν ὑπέσχετο, καὶ τοῖς εἰθισμένοις
δώροις ἐτίμησεν αὐτὸν μεγαλομερῶς· ἐπηγγείλατο δὲ

Responsum senatus.

[1] Αἰνιῶν Bav. idemque deinde v. 7. pro Αἶνον dat Αἰνὸν.

ticum tumultum et imminens ab ea gente periculum potuerint depellere. Quod si dissensionem ac controversiam cum fratre nunc moveret; procul dubio regnum eversurum esse, et tum ea potentia, quam jam nunc habeat, sese ipsum privaturum, tum ea etiam spe, quæ ipsum in posterum maneat: privaturum etiam fratres regno, et ea quam in regno obtineant potentia. Hæc et similia his alia disserens *Stratius* pervicit, ut nihil moveret *Attalus.*

III. Itaque in senatum *Attalus* ut venit: *gaudium de Perseo victo suum testatus, de fide atque promto suo studio, quod ad id bellum adhibuisset,* disseruit. Tum *de mittendis legatis, qui Gallorum perditam audaciam sua præsentia reprimerent, et ad pristinum statum eos redigerent, multis verbis apud patres egit.* Adjecit etiam *de Æniorum et Maronitarum urbibus,* quas *sibi dono dari* postulabat. Accusationem vero fratris, et petitionem de dividendo regno, penitus omisit. *Senatus,* qui existimaret, Attalum iterum ad se aditurum, et de iis rebus separatim acturum, *legatos missurum se* promisit, et in muneribus largiendis, quæ moris est dare, magnificentia singulari est

6 καὶ τὰς προειρημένας πόλεις δώσειν. [m]Ἐπεὶ δὲ [n]παρ- A. U. 587.
αυτὰ τυχὼν τῶν φιλανθρωπιῶν ὥρμησεν ἐκ τῆς Ῥώμης,
οὐδὲν ποιήσας τῶν προσδοκωμένων· διαψευσθεῖσα τῶν
7 ἐλπίδων ἡ σύγκλητος, ἄλλο μὲν οὐδὲν εἶχε ποιεῖν· ἔτι
δὲ κατὰ τὴν Ἰταλίαν ὄντος αὐτοῦ, τὴν μὲν Αἶνον καὶ Ænus et
τὴν [o]Μαρώνειαν ἠλευθέρωσεν, ἀθετήσασα τὴν ἐπαγγε- Maronea.
λίαν· τοὺς δὲ περὶ τὸν Πόπλιον Λικίνιον ἔπεμψε πρεσ- Legatio
8 βευτὰς πρὸς τοὺς Γαλάτας. Οἷς ποίας μὲν ἔδωκεν Rom. ad Gallo-
ἐντολὰς, εἰπεῖν οὐ ῥάδιον· στοχάζεσθαι δὲ ἐκ τῶν μετὰ græcos.
9 ταῦτα συμβάντων οὐ δυσχερές. Τοῦτο δ' ἔσται δῆλον
ἐκ τῶν πράξεων αὐτῶν.

IV. Ἧκον δὲ καὶ παρὰ Ῥοδίων πρέσβεις, πρῶτον Rhodiorum lega-
μὲν οἱ περὶ [p]Φιλοκράτην, μετὰ δὲ τούτους οἱ περὶ tio.
2 Φιλόφρονα καὶ Ἀστυμήδην. Οἱ γὰρ Ῥόδιοι, κομισά-
μενοι τὴν ἀπόκρισιν, ἣν οἱ περὶ τὸν Ἀγέπολιν ἔλαβον
εὐθέως μετὰ τὴν παράταξιν, καὶ θεωροῦντες ἐκ ταύτης Romani
τὴν πρὸς αὐτοὺς ὀργὴν καὶ τὴν ἀνάτασιν τῆς συγκλήτου, irati Rhodiis.
παραυτίκα τὰς προειρημένας πρεσβείας ἐξέπεμψαν.
3 Οἱ δὲ περὶ τὸν Ἀστυμήδην καὶ Φιλόφρονα, κατα-
νοοῦντες ἐκ τῶν ἐντεύξεων καὶ κοινῇ καὶ κατ' ἰδίαν τὴν
ὑφόρασιν καὶ τὴν ἀλλοτριότητα τῶν ἀνθρώπων τὴν πρὸς
αὐτοὺς, εἰς ἀθυμίαν ὁλοσχερῆ καὶ δυσχρηστίαν ἐνέπι-

[m] Sic Bav. Ἐπειδὴ δὲ Ursin. [n] παραυτὰ τυχὼν τῶν φιλανθρ. correxi cum Reisk. Corrupte MSti παρὰ τῶν τυχόντων φιλανθρωπιῶν, unde Ursinus exsculpsit παρατυχὼν τῶν φιλανθρ. Pro φιλανθρωπιῶν vero fortasse φιλανθρώπων scribendum est. [o] Μαρώνειαν correxi. Vulgo h. l. Μαρωνίαν. [p] Post Φιλοκράτην prætermissum nonnihil videtur, scilicet *quod Dinonem et Polyaratum nomine Rhodiorum Romanis tradiderit Philocrates.*

usus, *urbes etiam illas daturum se* est pollicitus. Sed quum post exhibita sibi omnia humanitatis officia protinus urbe exiisset *Attalus*, neque eorum, quæ sperabat senatus, quidquam fecisset; frustrati patres sua spe, quatenus nihil aliud poterant, *Ænum et Maroneam*, dum is esset adhuc in Italia, *liberas* pronunciarunt, revocata promissione quam Attalo fecerant. Legationem vero, cujus princeps *Publius Licinius*, ad Gallogræcos miserunt. Cui legationi mandata quænam dederint, ut haud facile dictu est, ita conjectare ex iis, quæ postea contigerunt, non est difficile: res siquidem ipsæ, quas gesserunt, id arguent.

IV. Venerant autem Romam RHODIORUM etiam *legati*: primum quidem *Philocrates* cum collegis, post hos vero *Philophron et Astymedes*. Rhodii enim, responso illo accepto, quod statim post pugnatam cum Perseo pugnam Agepolidi datum fuerat, ira patrum adversus se cognita, et minis auditis, extemplo legationes illas miserant. *Astymedes* vero et *Philophron* ex hominum sermonibus, quos conveniebant, suspectos se intelligentes, omniumque voluntates a Rhodiis abalie-

Ol. 153. 1. πτον. ὡς δὲ καὶ τῶν στρατηγῶν τις, ἀναβὰς ἐπὶ τοὺς 4
Ἐμβόλους, παρεκάλει τοὺς ὄχλους ἐπὶ τὸν κατὰ Ῥο-
δίων πόλεμον· τότε δὲ παντάπασιν ἔξω τοῦ φρονεῖν 5
γενόμενοι, διὰ τὸν περὶ τῆς πατρίδος κίνδυνον, εἰς τοιαύ-
την ἦλθον διάθεσιν, ὥστε καὶ φαιὰ [q]βαλεῖν ἱμάτια,
καὶ κατὰ τὰς [r]παρακλήσεις μηκέτι παρακαλεῖν, μηδ'
ἀξιοῦν τοὺς φίλους, ἀλλὰ δεῖσθαι μετὰ δακρύων, μηδὲν
Antonius trib. pl. ἀνήκεστον βουλεύσασθαι περὶ αὐτῶν. [s]Μετὰ δέ τινας 6
ἡμέρας, εἰσαγαγόντος αὐτοὺς Ἀντωνίου τοῦ δημάρχου,
καὶ τὸν στρατηγὸν τὸν παρακαλοῦντα πρὸς τὸν πόλεμον
κατασπάσαντος ἀπὸ τῶν Ἐμβόλων, ἐποιεῖτο τοὺς λό-
γους πρῶτον μὲν Φιλόφρων, μετὰ δὲ τοῦτον Ἀστυμήδης.
Cygneus cantus. ὅτε δὴ κατὰ τὴν παροιμίαν τὸ κύκνειον ἐξηχήσαντες, 7
ἔλαβον ἀποκρίσεις τοιαύτας, δι' ὧν τοῦ μὲν ὁλοσχεροῦς
φόβου τοῦ κατὰ τὸν πόλεμον ἐδόκουν παραλελῦσθαι·
περὶ δὲ τῶν κατὰ μέρος ἐγκλημάτων αὐτοῖς ἡ σύγ- 8
κλητος πικρῶς καὶ βαρέως ὠνείδισεν. Ἦν δ' ὁ νοῦς τῆς 9
ἀποκρίσεως τοιοῦτος, ὅτι, εἰ μὴ δι' ὀλίγους ἀνθρώπους,
τοὺς αὐτῶν φίλους, καὶ μάλιστα δι' αὐτοὺς, ᾔδεισαν
Astymedis orationem improbat Polybius. καλῶς καὶ δικαίως, ὡς δέον ἦν αὐτοῖς χρήσασθαι. Ὁ 10
δ' Ἀστυμήδης αὐτῷ μὲν ἐδόκει καλῶς εἰρηκέναι περὶ
τῆς πατρίδος· οὐ μὴν τοῖς γε παρεπιδημοῦσιν, οὔτε τοῖς

[q] λαβεῖν malim cum Ursino. Vulgatam defendit Reisk. [r] ἐντεύξεις utique malim cum Diodoro Siculo. [s] Μετὰ ex conject. scripsi. Vulgo κατὰ.

natas, animis prorsus conciderunt, ut quo se verterent nescirent. At postquam unus etiam e prætoribus pro rostris concionans rogationem ad populum tulisset de bello Rhodiis indicendo; tum enimvero pavore lymphatis non constare mens, patriæ periculum reputantibus, tanto denique metu adfici, ut pullata veste se amicirent, et quum amicos hortarentur ad ferendam opem, non hortantium, neque postulantium verbis uterentur, sed preces mixtas lacrymis adhiberent, ne quid durius in patriam ipsorum vellent ire consultum. Interjectis aliquot diebus, postquam ab Antonio tribuno plebis sunt introducti, et prætor ille, qui de bello ipsis indicendo promulgationem tulerat, de rostris ab eo esset detractus; ipsi verba fecerunt, prius quidem *Philophron*, deinde etiam *Astymedes.* Ac tunc quidem *cygneo*, quod aiunt, *cantu* edito, ejusmodi responsionem acceperunt, quæ extremo quidem illo periculo belli, quod metuebant, Rhodios eximebat: verum de criminibus, quæ in illos erant collata, multa sigillatim aspere ac dure eis exprobrabant patres. Erat autem responsi hæc fere sententia: *nisi per paucos populo Romano amicos staret, ac maxime per ipsos legatos, scire probe senatum, quid sibi in Rhodios juris fuerit.* Ceterum *Astymedes,* qui visus sibi est ea actione patriam pulcre defendisse, Græcis tamen homini-

11 ἐκεῖ μένουσι τῶν Ἑλλήνων οὐδαμῶς ἤρεσκεν. [s]ἐξέβαλλε A. U. 587.
γὰρ ἔγγραπτον μετὰ ταῦτα [t]ποιήσας τὴν σύνταξιν τῆς Astymedis
δικαιολογίας, ἣ τοῖς πλείστοις τῶν ἀναλαμβανόντων εἰς oratio ad
12 τὰς χεῖρας ἄτοπος ἐφαίνετο καὶ τέλεως ἀπίθανος. Συν- senatum.
εστήσατο γὰρ τὴν δικαιολογίαν οὐ μόνον ἐκ τῶν τῆς
πατρίδος δικαίων, ἔτι δὲ μᾶλλον ἐκ τῆς τῶν ἄλλων
13 κατηγορίας. τὰ μὲν γὰρ [u]ἐνεργήματα καὶ συνεργή-
ματα παραβάλλων καὶ συγκρίνων, τὰ μὲν τῶν ἄλλων
ἐπειρᾶτο ψευδοποιεῖν καὶ ταπεινοῦν, τὰ δὲ τῶν Ῥοδίων
14 ηὔξανε, πολλαπλασιάζων καθ᾽ ὅσον οἷός τ᾽ ἦν· τὰ δ᾽
ἁμαρτήματα κατὰ τοὐναντίον τὰ μὲν τῶν ἄλλων ἐξω-
νείδιζε πικρῶς καὶ δυσμενικῶς, τὰ δὲ τῶν Ῥοδίων ἐπει-
ρᾶτο περιστέλλειν, ἵνα κατὰ τὴν παράθεσιν τὰ μὲν
οἰκεῖα μικρὰ καὶ συγγνώμης ἄξια φανῇ, τὰ δὲ τῶν
πέλας ἀπαραίτητα καὶ μεγάλα τελέως, ἐφ᾽ οἷς ἔφη
συγγνώμης τετευχέναι τοὺς ἡμαρτηκότας ἅπαντας.
15 Τὸ δὲ γένος τοῦτο τῆς δικαιολογίας οὐδαμῶς ἂν πρέ-
16 πειν ἀνδρὶ πολιτικῷ δόξειεν· ἐπεί τοι καὶ τῶν κοινοπρα-
γησάντων περί τινων ἀποῤῥήτων οὐ τοὺς διὰ φόβον ἢ
πόνον μηνυτὰς γενομένους τῶν συνειδότων ἐπαινοῦμεν,
ἀλλὰ τοὺς πᾶσαν ἐπιδεξαμένους βάσανον καὶ τιμωρίαν,
καὶ μηδενὶ τῶν συνειδότων παραιτίους γενομένους τῆς
αὐτῆς συμφορᾶς, τούτους ἀποδεχόμεθα, καὶ τούτους

[s] ἐξέβαλε Bav. [t] ποιήσας correxit Casaub. ποιήσασθαι Urs. cum MStis.
[u] εὐεργήματα Bav. An debuit εὐεργετήματα?

bus, qui vel peregre Romam advenerant vel inibi habitabant, haudquaquam erat probatus. Et quum postea in literas ab eo relata publicataque ea concio fuisset; qui illam legebant, et absurdam et in totum ad persuadendum ineptam pronunciabant. Namque ille patriæ caussam non magis commemorandis iis rebus est tutatus, quæ ad ejus excusationem pertinebant, quam aliorum criminationibus. Quæ enim pro Romanis vel per se fecerant Rhodii, vel ipsos adjuvando, comparans contendensque cum aliis, merita aliorum omnium mendaciis obscurare atque elevare conabatur; Rhodiorum vero facta, quam maxime poterat, augebat atque exaggerabat. In peccatis contra, sua delicta aliis aspere et odiose exprobrans, Rhodiorum culpas minuebat; ut ex illa comparatione, quæ erant a suis admissa, parva esse et venia digna ostenderet, aliorum adprime gravia et quæ nullam mererentur veniam; et tamen aliis gratiam delictorum factam esse aiebat a Romanis. Enimvero defensionis hoc genus viro politico nequaquam convenire existimamus: nam et ex iis, qui societatem occulti cujusdam facinoris habuerunt, non illos laudamus, qui ob metum aut vexationem conscios indicaverint; verum illos potius, qui nullis tormentis aut suppliciis potuerint adigi, ut eorumdem consiliorum socios in eamdem calamitatem trahant. Hi

Ol. 153. 1.

ἄνδρας ἀγαθοὺς νομίζομεν. Ὁ δὲ διὰ τὸν ἄδηλον 17
φόβον πάντα τὰ τῶν ἄλλων ἁμαρτήματα τιθεὶς ὑπὸ
τὴν ὄψιν τοῖς κρατοῦσιν, καὶ καινοποιήσας, ὑπὲρ ὧν ὁ
χρόνος εἰς λήθην ἀγηόχει τοὺς ὑπερέχοντας, πῶς οὐκ
ἔμελλε δυσαρεστήσειν τοῖς ἱστορήσασι;

Nova legatio Rhodiorum.

V. Τὴν δὲ προειρημένην ἀπόκρισιν οἱ μὲν περὶ τὸν
Φιλοκράτην λαβόντες, ἐξαυτῆς ὥρμησαν· οἱ δὲ περὶ τὸν
Ἀστυμήδην αὐτόθι μένοντες παρήδρευον, χάριν τοῦ
μηδὲν αὐτοὺς λανθάνειν τῶν προσπιπτόντων ἢ λεγομένων
κατὰ τῆς πατρίδος. Προσπεσούσης δὲ τῆς ἀποκρίσεως 2
ταύτης εἰς τὴν Ῥόδον, δόξαντες ἀπολελῦσθαι τοῦ μεγί-
στου φόβου τοῦ κατὰ τὸν πόλεμον, τ᾽ ἄλλα, καίπερ
ἀκμὴν ὄντα δυσχερῆ, ῥᾳδίως ἔφερον. Οὕτως ἀεὶ τὰ 3
μείζω τῶν προσδοκωμένων κακῶν λήθην ποιεῖ τῶν ἐλατ-
τόνων συμπτωμάτων. Διὸ καὶ παραχρῆμα ψηφισά- 4
μενοι τῇ Ῥώμῃ στέφανον ἀπὸ [x] μυρίων χρυσῶν, καὶ
καταστήσαντες πρεσβευτὴν ἅμα καὶ ναύαρχον [y] Θεαί-
τητον, ἐξέπεμπον θερείας ἀρχομένης, ἄγοντα τὸν στέ-
φανον, καὶ μετὰ τούτου τοὺς περὶ Ῥοδοφῶντα, πειρα-
σομένους κατὰ πάντα τρόπον συμμαχίαν συνθέσθαι
πρὸς Ῥωμαίους. Τοῦτο δ᾽ ἐποίησαν, βουλόμενοι [z] δίχα 5
τοῦ ψηφίσματος καὶ πρεσβείας ἀποτυχεῖν, ἐὰν ἄλλως

Potestas navarchi Rhodii.

[x] δισμυρίων secundum Livium. [y] Θεαίτητον restituì ex MStis. Vulgo Θεόδοτον ex scriptura apud Livium vulgata. [z] δίχα cum Reiskio scripsi pro vulgato διὰ. Sed videtur δίχα ψηφίσματος τῆς πρεσβείας scribendum. Vulgo ex Ursini ingenio οὐ διὰ τοῦ ψηφ. καὶ πρεσβ.

sunt, quos laudare solemus, quos pro viris bonis habere. *Astymedes* vero, qui propter ancipitem metum omnia aliorum peccata ob oculos imperantibus ponere sustinuit, et eorum memoriam renovare, quorum oblivionem principis populi animis tempus induxerat, qui poterat audientibus non displicere?

v. Ceterum accepto illo responso, extemplo Rhodum abiit *Philocrates;* Astymede in urbe remanente, qui omnia sollicitus observaret, ne quid forte ipsos lateret eorum, quæ quotidie nunciabantur aut dicebantur adversus patriam. *Rhodii* vero, cognito Romanorum responso, quia maximo illo metu belli videbantur liberati, cetera, etsi erant admodum tristia, æquis animis ferebant. Adeo majora exspectata mala leviorum casuum facile semper oblivionem inducunt. Itaque coronam confestim decem millium aureorum Romanis decernunt. *Theæteto* legationem eam simul et classis præfecturam mandant. Hunc ineunte æstate ad deferendam coronam mittunt, et cum eo Rhodophontem, qui modis omnibus societatem cum Romanis eniterentur contrahere. Hoc autem eo consilio fecerunt, ne, si aliter Romanis videretur, præter irritam

δόξῃ Ῥωμαίοις, δι' αὐτῆς δὲ τῆς τοῦ ναυάρχου προαι- A. U. 587.
ρέσεως τὴν κατάπειραν ποιήσασθαι. τὴν γὰρ ἐξουσίαν
6 εἶχε ταύτην ὁ ναύαρχος ἐκ τῶν νόμων. Οὕτω γὰρ ἦν Rhodiorum
πραγματικὸν τὸ πολίτευμα τῶν Ῥοδίων, ὡς σχεδὸν ἔτη prudentia
τετταράκοντα πρὸς τοῖς ἑκατὸν κεκοινωνηκὼς ὁ δῆμος in contrahendis societatibus.
Ῥωμαίοις τῶν ἐπιφανεστάτων καὶ καλλίστων ἔργων, οὐκ
7 ἐπεποίητο πρὸς αὐτοὺς συμμαχίαν. Τίνος δὲ χάριν
οὕτως ἐχείριζον οἱ Ῥόδιοι τὰ καθ' αὐτοὺς, οὐκ ἄξιον
8 παραλιπεῖν. Βουλόμενοι γὰρ μηδένα τῶν ἐν ταῖς ὑπερ-
οχαῖς καὶ δυναστείαις ἀπελπίζειν τὴν ἐξ αὐτῶν ἐπικου-
ρίαν καὶ συμμαχίαν, οὐκ ἐβούλοντο συνδυάζειν, οὐδὲ
προκαταλαμβάνειν σφᾶς αὐτοὺς ὅρκοις καὶ συνθήκαις,
ἀλλ' ἀκέραιοι διαμένοντες κερδαίνειν τὰς ἐξ ἑκάστων
9 ἐλπίδας. Τότε δὲ μεγάλην ἐποιοῦντο φιλοτιμίαν, βου- Romanor.
λόμενοι ταύτης τῆς τιμῆς τυχεῖν παρὰ Ῥωμαίων, οὐ societatem operose
κατεπειγόμενοι συμμαχίας, οὐδ' ἀγωνιῶντες ἁπλῶς ambiunt Rhodii.
οὐδένα κατὰ τὸ παρὸν, πλὴν αὐτῶν τῶν Ῥωμαίων·
10 ἀλλὰ βουλόμενοι κατὰ τὴν ὑπέρθεσιν τῆς ἐπιβολῆς
ἀφαιρεῖσθαι τὰς ἐπινοίας τῶν δυσχερές τι διανοουμένων
11 περὶ τῆς πόλεως. Ἄρτι δὲ τῶν περὶ τὸν Θεαίτητον Caunii
[a] καταπεπλευκότων, ἀπέστησαν Καύνιοι, κατελάβοντο desciscunt a Rhodiis.
12 δὲ καὶ Μυλασσεῖς τὰς ἐν Εὐρώμῳ πόλεις. Κατὰ δὲ
τὸν αὐτὸν καιρὸν ἡ σύγκλητος ἐξέβαλε δόγμα, διότι

[a] ἐκπεπλ. vel ἀποπεπλευκότων malim cum Reisk. *Vir Rhodo profecta erat.*

legationem, et facti decreti pœniteret: itaque per ipsum classis præfectum tentare animos Romanorum statuerunt; ex legibus namque sanciendæ societatis potestatem classis præfectus habebat. Tanta autem prudentia atque sollertia regebatur respublica Rhodiorum, ut, qui per annos fere centum et quadraginta nobilissimas pulcerrimasque victorias Romanorum adjuverant, tamen fœdus societatis nullum cum iis percussissent. Et est operæ, non prætermittere, cujus rei gratia ita rempublicam suam Rhodii gubernarint. Qui enim nulli regum aut dynastarum spem auxilii societatisque suæ vellent abscindere; arctius se cum quoquam copulare, et libertatem sibi jurejurando ac pactis præcipere nolebant; sed omnia sibi servantes integra, spes singulorum lucrari. Illo vero tempore summa contentione sunt enisi, quo illum honorem a Romanis impetrarent; non adeo, quod per id tempus magnopere opus haberent societate aliqua, aut quod quemquam metuerent, præter ipsos Romanos; quam, ut per singulare studium, quod nunc in eam rem conferrent, irrita redderent eorum consilia, qui de sua civitate tristius aliquid cogitabant. Vix adpulerat *Theætetus*, cum descivere *Caunii*, et Mylassenses quoque Euromensium oppida occuparunt. Sub idem vero tempus editum est a patribus senatusconsultum, quo *Caribus et*

Ol. 153. 1. δεῖ Κᾶρας καὶ Λυκίους ἐλευθέρους εἶναι πάντας, ὅσους
προσένειμε Ῥοδίοις μετὰ τὸν Ἀντιοχικὸν πόλεμον. Τὰ 13
μὲν οὖν κατὰ τοὺς Καυνίους καὶ τοὺς Εὐρωμεῖς ταχέως
οἱ Ῥόδιοι διωρθώσαντο. [b]τοὺς μὲν γὰρ Καυνίους, Λύκον 14
[c]ἀποπέμψαντες μετὰ στρατιωτῶν, ἠνάγκασαν πάλιν
[d]ὑφ' αὑτοὺς τάττεσθαι, καίπερ Κιβυρατῶν αὐτοῖς πα-
ραβοηθησάντων· ἐπὶ δὲ τὰς ἐν Εὐρώμῳ πόλεις στρατεύ- 15
σαντες, ἐνίκησαν μάχῃ Μυλασσεῖς καὶ Ἀλαβανδεῖς,
ἀμφοτέρων παραγενομένων μετὰ στρατιᾶς ἐπ' Ὀρθω-
σίαν. Τοῦ δὲ περὶ τῶν Λυκίων καὶ Καρῶν δόγματος 16
αὐτοῖς προσπεσόντος, πάλιν ἀπεσοβήθησαν ταῖς δια-
νοίαις, δείσαντες, μήποτε μάταιος μὲν αὐτοῖς ἡ τοῦ
στεφάνου δόσις γέγονε, μάταιαι δὲ αἱ περὶ τῆς συμ-
μαχίας ἐλπίδες.

Caras et Lycios liberant Romani.

VI. [e]* * * πρότερον ἐπιστήσαντες τοὺς ἀναγινώσκον-
τας ἐπὶ τὴν περὶ Δείνωνος καὶ Πολυαράτου διάληψιν.
Μεγάλης γὰρ οὔσης τῆς περιστάσεως καὶ τῆς μετα- 2
βολῆς οὐ μόνον παρὰ τοῖς Ῥοδίοις, ἀλλὰ σχεδὸν ἁπά-
σαις ταῖς πολιτείαις· χρήσιμον ἂν εἴη, τὸ τὰς προαι- 3
ρέσεις τῶν παρ' ἑκάστοις πολιτευομένων ἐπισκέψασθαι,
καὶ γνῶναι, τίνες φανήσονται τὸ κατὰ λόγον πεποιη-
κότες, καὶ τίνες παραπεπαικότες τοῦ καθήκοντος· ἵνα 4

Dinonis et Polyarati inconstantia.

[b] γὰρ ex conject. adjeci. [c] Forsan ἐπιπέμψ. quod maluit Reisk. [d] Mendose vulgo ὑφ' αὐτοῖς. [e] *Fragmentum hoc* vulgo ex præscripto codicis Peiresc. ab his verbis incipiunt: Ὅτι φησὶ Πολύβιος· πρότερον ἐπιστήσ. *&c.* et referunt ad *Librum XXVIII.* Sed, vel refragante cod. MS. referendum esse ad *Librum XXX*, monuit jam Valesius.

Lyciis omnibus, quos post confectum bellum Antiochicum Rhodiis adtribuerant, *libertas* concedebatur. Igitur ad Caunios quidem quod adtinet atque Euromenses, ea molestia cito defuncti sunt Rhodii. Misso enim Lyco cum exercitu, quamquam Cibyratarum aderant auxilia, coegerunt Caunios imperio parere: et in Euromensium quoque provinciam expeditione suscepta, Mylassenses Alabandenosque, qui conjunctis viribus imminebant Orthosiæ, acie vicerunt. At postquam de facto pro Lyciis Caribusque decreto nuncium acceperunt, ilicet mentes ipsis iterum pavore sunt concussæ; male metuentibus, ne et coronam frustra donassent, et societatem frustra sperassent.

(*Excerptum Valesianum.*)

VI. * * * postquam admonuerimus lectores de *Dinonis* et *Polyarati* instituto. Nam cum gravissimi casus et mutationes non solum apud Rhodios, sed in ceteris quoque civitatibus acciderint, operæ pretium fuerit, dispicere consilia singulorum, qui reipublicæ præerant, et quinam recte ac constanter se gesserint, quinam officio suo defuerint, videre; ut posteri tamquam

οἱ ἐπιγιγνόμενοι, ὡσαιεὶ τύπων ἐκτιθεμένων, δύνωνται A. U. 587.
κατὰ τὰς ὁμοίας περιστάσεις τὰ μὲν αἱρετὰ διώκειν,
τὰ δὲ φευκτὰ φεύγειν ἀληθινῶς, καὶ μὴ περὶ τὸν
ἔσχατον καιρὸν τῆς ζωῆς ἀβλεπτοῦντες τὸ πρέπον, καὶ
τὰς ἐν τῷ προγεγονότι βίῳ πράξεις αὐτῶν [f] * ποιῶσι.
5 Συνέβαινε τοιγαροῦν, τρεῖς διαφορὰς γενέσθαι τῶν ἐμπε- Variorum hominum studia bello Persico.
σόντων εἰς τὰς αἰτίας κατὰ τὸν πρὸς Περσέα πόλεμον.
6 Ὧν μία μὲν ἦν τῶν οὐχ ἡδέως μὲν ὁρώντων κρινόμενα
τὰ ὅλα, καὶ τὴν τῆς οἰκουμένης ἐξουσίαν ὑπὸ μίαν
ἀρχὴν πίπτουσαν· οὔτε δὲ συνεργούντων, οὔτ' ἀντιπρατ-
τόντων ἁπλῶς Ῥωμαίοις οὐδὲν, ἀλλ' οἷον ἐπιτετραφότων
7 τῇ τύχῃ περὶ τῶν ἀποβησομένων. Ἑτέρα δὲ, τῶν ἡδέως
ὁρώντων κρινόμενα τὰ πράγματα, καὶ βουλομένων νικᾶν
τὸν Περσέα· μὴ δυναμένων δὲ συνεπισπᾶσθαι τοὺς
ἰδίους πολίτας, καὶ τοὺς ὁμοεθνεῖς πρὸς τὴν αὐτῶν
8 γνώμην. Τρίτη δὲ καὶ τῶν συνεπισπασαμένων καὶ
μεταῤῥιψάντων τὰ πολιτεύματα πρὸς τὴν Περσέως
συμμαχίαν.

VII. Πῶς οὖν ἕκαστοι τούτων ἐχείρισαν τὰ καθ'
2 αὑτοὺς, σκοπεῖν πάρεστι. Μετέῤῥιψαν πρὸς Περσέα
τὸ τῶν Μολοσσῶν ἔθνος Ἀντίνους καὶ Θεόδοτος, καὶ
3 Κέφαλος [g] μετ' αὐτῶν. [οἱ, τῶν πραγμάτων] ἀντι-
πεσόντων ταῖς ἐπιβολαῖς αὐτῶν ὁλοσχερῶς, καὶ περι-
στάντος τοῦ κινδύνου, καὶ συνεγγίζοντος τοῦ δεινοῦ,

[f] * Desideratur ἀμαυροὺς, aut aliquid simile. [g] Vulgo μετ' αὐτῶν τῶν ἀντιπεσόντων, et punctum ponunt post ὁλοσχερῶς. Supplevi lacunam ex Reiskii conjectura.

ex proposito exemplo discant, ubi similes casus ingruerint, honesta quæque persequi, ac fugere contraria; ne, si sub exitum vitæ ab officio discesserint, omnem anteactæ vitæ suæ laudem commaculasse videantur. *Tria* erant *genera eorum, qui bello Persico in suspicionem venerant.* Primum illorum, qui ægre quidem tulerant, rerum summam dijudicari, imperiumque orbis terrarum uni genti addici; sed qui neque adjuverant Romanos, neque ulla re eisdem erant adversati, sed quasi fortunæ permiserant rei eventum. Alterum genus erat eorum, qui lubentes viderant de summa rerum decerni, ac superiores Persei partes esse optaverant quidem, sed cives suos ac populares in suam sententiam non potuerant pertrahere. Tertium genus eorum hominum erat, qui civitates suas ad Persei societatem auctoritate sua traduxerant.

VII. Quo autem modo singuli se gesserint, perspicere in promtu est. Gentem *Molossorum* ad Persei regis partes transtulerunt *Antinous* et *Theodotus*, et cum his *Cephalus.* Iidem, postquam prorsus contra ipsorum voluntatem ceciderat res, imminente ex-

Ol. 153. 1. πάντες ὁμόσε [h] συστάντες τοῖς παροῦσιν ἀπέθανον γεν-
ναίως. Διόπερ ἄξιον, ἐπαινεῖν τοὺς ἄνδρας ἐπὶ τῷ μὴ 4
προέσθαι μηδὲ περιϊδεῖν σφᾶς αὐτοὺς εἰς ἀναξίαν διά-
θεσιν ἐμπεσόντας τοῦ προγεγονότος βίου. Καὶ μὴν ἐν 5
Ἀχαΐᾳ καὶ παρὰ Θετταλοῖς καὶ Περραιβοῖς ἔσχον
αἰτίαν καὶ πλείους διὰ τὴν ἡσυχίαν, ὡς ἐφεδρεύοντες
τοῖς καιροῖς, καὶ φρονοῦντες τὰ Περσέως. ἀλλ' οὔτε 6
λόγον ἐν τῷ μέσῳ τοιοῦτον ἐξέβαλον, οὔτε γράφοντες,
οὔτε διαπεμπόμενοι πρὸς τὸν Περσέα περί τινος ἐφωρά-
θησαν· ἀλλὰ διεφύλαξαν ἀνεπιλήπτους ἑαυτούς. Τοι- 7
γαροῦν εἰκότως οὗτοι καὶ δικαιολογίαν καὶ κρίσιν ὑπέ-
μενον, καὶ πάσας ἐξήλεγχον τὰς ἐλπίδας. Οὐ γὰρ 8
ἔλαττόν ἐστιν ἀγεννίας σημεῖον, τὸ μηδὲν αὑτῷ συνει-
δότα μοχθηρὸν προεξάγειν ἐκ τοῦ ζῆν αὑτὸν, ποτὲ μὲν
τὰς τῶν ἀντιπολιτευομένων [i] ἀνατάσεις καταπλαγέντα,
ποτὲ δὲ τὴν τῶν κρατούντων ἐξουσίαν, τοῦ παρὰ τὸ
καθῆκον φιλοζωεῖν. Καὶ μὴν ἐν Ῥόδῳ, καὶ Κῷ, καὶ 9
πλείοσιν ἑτέραις πόλεσιν, ἐγένοντό τινες οἱ φρονοῦντες τὰ
Περσέως· οἳ καὶ λέγειν ἐθάῤῥουν περὶ Μακεδόνων ἐν τοῖς
ἰδίοις πολιτεύμασι, καὶ κατηγορεῖν μὲν Ῥωμαίων, καὶ
καθόλου συνίστασθαι πρὸς τὸν Περσέα κοινοπραγίαν, οὐ
δυνηθέντες δὲ μεταῤῥίψαι τὰ πολιτεύματα πρὸς τὴν τοῦ
βασιλέως συμμαχίαν. Τούτων δ' ἦσαν ἐπιφανέστατοι, 10

Autochiria, pusilli animi indicium.

Hippocritus Cous.

h συστάντες ex conject. scripsi. Vulgo στήσαντες. χωρήσαντες Reisk. i ἀνατάσεις correxi cum Reisk. Vulgo ἀναστάσεις.

tremo discrimine, adversus præsentem fortunam congressi, fortiter pugnantes occubuerunt. Quamobrem omni laude prosequendi sunt, quod semetipsos prodere atque indignam anteacta vita fortunam experiri haudquaquam sustinuerunt. At vero in Achaia et apud Perrhæbos ac Thessalos multo plures ob quietem ac silentium accusabantur, quasi tempus captassent, ac Perseo taciti favissent. Sed neque ullum ejusmodi sermonem in medium protulisse, neque ad Perseum de ea re literas misisse deprehensi sunt; verum ab omni crimine integros se præstitere. Proinde recte fecerunt hi, quod judicium subire minime detrectarunt, atque in innocentia sua spes positas habuerunt. Neque enim *pusilli animi* levius argumentum est, *sibi ipsum mortem consciscere*, nullius conscium culpæ, interdum contrariæ in republica factionis, interdum potentioris metu, quam vitæ desiderio plus quam par sit teneri. Præterea apud Coos ac Rhodios, et in aliis civitatibus, nonnulli palam Perseo faverant: qui, pro Macedonibus verba facere, et Romanos accusare, ac societatem cum Perseo publice suadere cum ausi essent, tamen cives suos ad regias partes pertrahere non potuerant. Horum præ-

παρὰ μὲν τοῖς Κῴοις, Ἱππόκριτος καὶ Διομέδων, ἀδελφοί· παρὰ δὲ Ῥοδίοις, Δείνων καὶ Πολυάρατος. A. U. 587.

VIII. Ὧν τίς οὐκ ἂν καταμέμψαιτο τὴν προαίρεσιν; οἳ, πρῶτον μὲν τοὺς πολίτας συνίστορας ἔχοντες πάντων τῶν σφίσι πεπραγμένων καὶ τῶν εἰρημένων, ἔπειτα δὲ τῶν γραμμάτων ἑαλωκότων καὶ πεφωτισμένων, καὶ τῶν παρὰ τοῦ Περσέως πρὸς ἐκείνους διαπεμπο-
2 μένων, καὶ τῶν πρὸς τὸν Περσέα παρ' ἐκείνων, ἅμα δὲ καὶ τῶν ἀνθρώπων ὑποχειρίων γεγονότων τῶν διαπεμπομένων παρ' ἑκατέρων καὶ πρὸς ἑκατέρους, οὐχ οἷοί τ' ἦσαν εἴκειν, οὐδ' ἐκποδὼν ποιεῖν ἑαυτοὺς, ἀλλ' ἀκμὴν
3 ἠμφισβήτουν. τοιγαροῦν, προσκαρτεροῦντες καὶ φιλοζωοῦντες πρὸς ἀπεγνωσμένας ἐλπίδας, καὶ τὸ δοκοῦν εἶναι περὶ αὐτοὺς τολμηρὸν καὶ παράβολον [k] ἀνέστρεψαν, ὥστε παρὰ τοῖς ἐπιγιγνομένοις μηδ' ἔσχατον ἐλέῳ καὶ
4 συγγνώμῃ τόπον καταλιπεῖν. ἐλεγχόμενοι γὰρ κατὰ πρόσωπον ὑπὸ τῶν ἰδίων χειρογράφων καὶ τῶν ὑπουργῶν, οὐ μόνον ἀτυχεῖν, ἔτι δὲ μᾶλλον ἀναισχυντεῖν ἔδοξαν.
5 Θόας γάρ τις ἦν τῶν πλοϊζομένων, ὃς καὶ πολλάκις εἰς τὴν Μακεδονίαν ἐπεπλεύκει, διαπεσταλμένος ὑπὸ τῶν
6 προειρημένων. οὗτος ἐν τῇ μεταβολῇ τῶν πραγμάτων συνειδὼς αὑτῷ τὰ πεπραγμένα, δείσας ἀπεχώρησεν εἰς τὴν Κνίδον. τῶν δὲ Κνιδίων αὐτὸν εἰς φυλακὴν ἀποθεμένων, ἐξαιτηθεὶς ὑπὸ τῶν Ῥοδίων ἦλθεν εἰς τὴν Ῥόδον.
7 κἀκεῖ διὰ τῶν βασάνων ἐλεγχόμενος, ἀνθωμολογεῖτο

Dino et Polyaratus Rhodii, convicti favisse Perseo.

[k] ἀνέτρεψαν legendum videtur.

cipui apud Coos *Hippocritus* et *Diomedon*, fratres; Rhodi *Dino* et *Polyaratus* fuere.

VIII. Quorum consilium quis est qui non merito damnaverit? Qui, cum cives suos testes haberent omnium dictorum et factorum suorum; præterea interceptis et in lucem productis literis, quas ad regem Perseum miserant, quasque ab illo acceperant; comprehensis denique interpretibus atque internunciis, qui utrimque commeare soliti erant; nihilominus cedere fortunæ ac se e medio eripere non sustinuerunt, sed incerti etiam tunc, quid facerent, hæserunt. Ita vitæ desiderio capti, ac profligatas spes secuti cum perstitissent, fortitudinis etiam atque audaciæ, quæ ipsis inesse visa erat, laudem imminuerunt, ut ne ullum quidem veniæ locum apud posteros sibi reliquerint. Convicti enim suismet ipsorum chirographis ac ministris, non modo infelices, sed magis etiam impudentes esse videbantur. Erat quidam ex internunciis *Thoas*, qui a supra dictis missus sæpe in Macedoniam navigarat. Hic, rebus jam inclinatis, conscientia facinoris ac metu Cnidum confugit: cumque eum Cnidii in custodiam compegissent, vindicatus a Rhodiis Rhodum remissus est. Ibi, habita de ipso quæstione, cuncta confessus, prorsus cum omnibus in-

Ol. 153. 1. καὶ σύμφωνος [k] ἦν πᾶσι τοῖς ἐκ τῶν αἰχμαλώτων γραμ-
μάτων συνθήμασιν, ὁμοίως δὲ καὶ ταῖς ἐπιστολαῖς, ταῖς
Dino. παρά τε τοῦ Περσέως ἀποστελλομέναις πρὸς τὸν Δεί-
νωνα, καὶ [l] παρὰ τούτων πρὸς ἐκεῖνον. Ἐξ ὧν θαυμά- 8
ζειν ἦν, τίνι ποτὲ λογισμῷ χρώμενος ὁ Δείνων προσανεί-
χετο ζῆν, καὶ τὸν παραδειγματισμὸν ὑπέμενε τοῦτον.

Polyaratus. IX. Πολὺ δὲ κατὰ τὴν ἀβουλίαν καὶ κατὰ τὴν
ἀγεννίαν ὁ Πολυάρατος ὑπερέθετο τὸν Δείνωνα. Τοῦ 2
γὰρ [m] Ποπιλλίου προστάξαντος Πτολεμαίῳ τῷ βα-
σιλεῖ, τὸν Πολυάρατον ἀναπέμπειν εἰς τὴν Ῥώμην, ὁ
βασιλεὺς εἰς μὲν τὴν Ῥώμην οὐκ ἔκρινε πέμπειν, ἐντρε-
πόμενος τὴν πατρίδα καὶ τὸν Πολυάρατον· εἰς δὲ τὴν
Ῥόδον ἀποστέλλειν διέλαβε, κἀκείνου τοῦτο παρακα-
λοῦντος. παραστήσας οὖν λέμβον, καὶ παραδοὺς αὐτὸν 3
Δημητρίῳ, τινὶ τῶν φίλων, ἐξαπέστειλεν. ἔγραφε δὲ
καὶ τοῖς Ῥοδίοις ὑπὲρ τῆς ἐκπομπῆς. Ὁ δὲ Πολυά- 4
ρατος, προσσχὼν Φασηλίδι κατὰ πλοῦν, καὶ διανοηθεὶς
ἅττα δή ποτ᾽ οὖν, λαβὼν θάλλους κατέφυγεν ἐπὶ τὴν
κοινὴν ἑστίαν. Ὃν εἴ τις [n] ἤρετο, τί βούλεται, πέ- 5
πεισμαι, μὴ δυνατὸν ἔχειν εἰπεῖν. εἰ μὲν γὰρ εἰς τὴν
πατρίδα μολεῖν ἐπεθύμει, τί θάλλων ἔδει; τοῦτο γὰρ
[o] προὔκειτό ποι τοῖς ἄγουσιν αὐτόν. εἰ δ᾽ εἰς τὴν 6
Ῥώμην, καὶ μὴ βουλομένου κείνου τοῦτ᾽ ἔδει γενέσθαι

[k] Suspicatus eram ἦν ἐν πᾶσι τοῖς τῶν αἰχμαλ. [l] Imo παρὰ τούτου, nisi paulo ante malis πρὸς τοὺς περὶ Δείνωνα. [m] Mendose vulgo Ποπλίου. [n] ἤρετο correxi. Vulgo εἴρετο. [o] Particulam ποι deletam malim cum Reisk.

terceptarum literarum arcanis notis, cumque epistolis, tum a Dinone, tum a Perseo ultro citroque missis, consentiebat. Itaque mirum videbatur, qua ratione quave spe adductus *Dino* superesse adhuc atque hujusmodi ludibrio traduci sustinebat.

IX. Sed *Polyaratus* et imprudentia et ignavia Dinonem longe superavit. Nam cum *C. Popilius* Ptolemæo regi mandasset, ut Polyaratum mitteret Romam; rex, et Polyaratum et patriam ejus reveritus, Romam quidem mittere eum noluit, sed Rhodum mittere statuit, quod et ipse Polyaratus postulaverat. Igitur navigio impositum, et Demetrii cujusdam ex regis amicis custodiæ traditum, Rhodum destinavit, literis etiam ad Rhodios de illius transvectione datis. At *Polyaratus*, *Phaselidem* in trajectu adpulsus, nescio quid animo cogitans, sumtis verbenis atque insulis ad penetrale urbis confugit. Quem quidem si quis tum interrogasset, quid sibi vellet, pro certo habeo, dicere haud potuisse. Nam si in patriam reverti optabat; quid velamenta prætendere opus fuit,

κατ' ἀνάγκην. τί οὖν [p]κατελείπετ' ἕτερον; ἄλλος γὰρ A. U. 587.
7 τόπος ὁ δεξόμενος αὐτὸν μετ' ἀσφαλείας οὐκ ἦν. Οὐ
μὴν, ἀλλὰ τῶν Φασηλιτῶν πεμψάντων εἰς τὴν Ῥόδον,
καὶ παρακαλούντων κομίζεσθαι καὶ παραλαμβάνειν τὸν
Πολυάρατον, νουνεχῶς οἱ Ῥόδιοι διαλαβόντες, ἄφρακτον
8 μὲν ἐξαπέστειλαν τὸ παραπέμψον· ἀναλαβεῖν δ' εἰς τὴν
ναῦν ἐκώλυσαν τὸν ἄρχοντα, διὰ τὸ προστετάχθαι τοῖς
ἐκ τῆς Ἀλεξανδρείας εἰς Ῥόδον ἀποκαταστῆσαι τὸν
9 ἄνθρωπον. Παραγενομένης δὲ τῆς νεὼς εἰς τὴν Φαση-
λίδα, καὶ τοῦ μὲν Ἐπιχάρους, ὃς ἦν ἄρχων τῆς νεὼς,
10 οὐ βουλομένου δέχεσθαι τῷ πλοίῳ τὸν ἄνθρωπον· τοῦ δὲ
Δημητρίου, τοῦ προχειρισθέντος ὑπὸ τοῦ βασιλέως διὰ
τὴν ἀναπομπὴν, κελεύοντος ἀνίστασθαι καὶ πλεῖν αὐτὸν,
καὶ τῶν Φασηλιτῶν συνεπισχυόντων αὐτῷ, διὰ τὸ δεδιέ-
ναι, μή τις ἐκ Ῥωμαίων σφίσι διὰ ταῦτα μέμψις
11 ἐπακολουθήσοι· καταπλαγεὶς τὴν περίστασιν, ἐνέβη πά-
12 λιν τὸν λέμβον πρὸς τὸν Δημήτριον. Κατὰ δὲ τὸν
ἀπόπλουν ἐπιλαβόμενος ἀφορμῆς εὐκαίρου, προσδραμὼν
κατέφυγε πάλιν εἰς Καῦνον, κἀκεῖ παραπλησίως ἐδεῖτο
13 τῶν Καυνίων βοηθεῖν. Τούτων δὲ πάλιν ἀποτριβομένων Polyaratus Romanis traditus.
αὐτὸν, διὰ τὸ τάττεσθαι μετὰ Ῥοδίων, διεπέμπετο πρὸς
Κιβυράτας, δεόμενος αὐτὸν δέξασθαι τῇ πόλει καὶ
14 πέμψαι παραπομπήν. ἔσχε γὰρ ἀφορμὴν πρὸς τὴν
πόλιν, διὰ τὸ τετράφθαι παρ' αὐτῷ τοὺς παῖδας Παγ-

[p] κατελείπετ' ex conject. scripsi. Vulgo καταλείπετ'.

cum eo a custodibus deduceretur? Sin Romam proficisci malebat; etiam invito illuc eundum erat. Quidnam igitur poterat esse reliquum? alius enim præterea locus nullus exstabat, in quo secure posset consistere. Ceterum cum Phaselitæ Rhodum misissent, postulantes, ut *Polyaratum* ipsi accipere asportareque vellent, Rhodii, prudenter reputantes, navem quidem apertam, quæ eum comitaretur, miserunt: sed præfecto navis, accipere illum in navem, interdixere; quoniam Alexandrinis, Rhodi hominem sistere, mandatum fuisset. Nave igitur Phaselidem delata, cum Epichares præfectus Polyaratum navigio excipere abnueret, Demetrius autem, cujus custodiæ commendatus ab rege fuerat, exsurgere hominem ac proficisci juberet, urgerentque adeo Phaselitæ, veriti, ne id sibi apud populum Romanum fraudi esset; perculsus casus gravitate, Demetrii navigium rursus conscendit. Dum vero in eo erant, ut solverent, opportunitatem nactus, proripuit sese et *Caunum* rursus confugit, ibique similiter quiritando Cauniorum auxilium imploravit. A quibus repulsam passus, eo quod Rhodiis contributi essent, ad *Cibyratas* misit, postulans ut in urbem reciperetur, mitterenturque qui ipsum tuto deducerent. Notus autem Cibyratis eo erat, quod liberi

Ol. 153. 1. Polyaratus, Romanis traditus.

κράτους τοῦ τυράννου. Τῶν δὲ πεισθέντων, καὶ ποιη- 15
σάντων τὰ παρακαλούμενα, παραγενόμενος εἰς τὴν Κιβύραν, εἰς ἀπορίαν ἐνέβαλεν αὐτόν τε καὶ τοὺς Κιβυράτας μείζω τῆς πρότερον, [q]ὅτε παρὰ τοῖς Φασηλίταις ἦν. οὔτε γὰρ ἔχειν παρ' αὐτοῖς ἐθάῤῥουν αὐτὸν, 16
διὰ τὸ δεδιέναι τὸν ἀπὸ Ῥωμαίων κίνδυνον, οὐθ' ἅμα πέμπειν εἰς τὴν Ῥώμην ἐδύναντο, διὰ τὴν ἀπειρίαν τῶν κατὰ θάλατταν ἔργων, ἅτε μεσόγαιοι τελέως ὑπάρχοντες. λοιπὸν, ἠναγκάζοντο πρεσβεύειν εἰς τὴν Ῥόδον 17
καὶ πρὸς τὸν στρατηγὸν εἰς Μακεδονίαν, ἀξιοῦντες παραλαβεῖν τὸν ἄνθρωπον. Τοῦ δὲ Λευκίου γράψαντος 18
τοῖς μὲν Κιβυράταις, τηρεῖν ἐπιμελῶς τὸν Πολυάρατον καὶ κομίζειν εἰς τὴν Ῥόδον, τοῖς δὲ Ῥοδίοις, φροντίζειν τῆς κατὰ θάλατταν παραπομπῆς, ἵνα μετ' ἀσφαλείας εἰς τὴν Ῥωμαίων ἀνακομισθῇ, πειθαρχησάντων δ' ἀμφοτέρων τοῖς γραφομένοις· τούτῳ τῷ τρόπῳ συνέβη τὸν 19
Πολυάρατον ἐλθεῖν εἰς τὴν Ῥώμην, ἐκθεατρίσαντα μὲν τὴν ἀβουλίαν τὴν αὑτοῦ καὶ τὴν ἀγεννίαν ἐφ' ὅσον οἷός τ' ἦν, ἔκδοτον δὲ γενόμενον οὐ μόνον παρὰ Πτολεμαίου τοῦ βασιλέως, ἀλλὰ καὶ παρὰ Φασηλιτῶν, καὶ παρὰ Κιβυρατῶν, καὶ παρὰ Ῥοδίων, διὰ τὴν ἰδίαν [r]ἄνοιαν.
Τίνος οὖν χάριν τὸν πλείω λόγον πεποίημαι περὶ Πο- 20
λυαράτου καὶ Δείνωνος; Οὐχ ἵνα συνεπεμβαίνειν δόξω 21
ταῖς ἐκείνων ἀτυχίαις, καὶ γὰρ ἄτοπόν γε τοῦτο τελέως· ἀλλ' ἵνα, φανερὰν ποιήσας τὴν ἐκείνων ἀβουλίαν, βέλ-

[q] Vulgo ἢ ὅτε παρά. Delendam putavi primam particulam. [r] Forte ἄγνοιαν scripsit Polybius, ut aliâs.

Pancratis tyranni educati apud eum fuerant. Cum adsensissent Cibyratæ, et postulatis paruissent; ipse Cibyram delatus, et seipsum et Cibyratas in graviorem, quam antea, difficultatem conjecit. Neque enim retinere illum penes se audebant, metu populi Romani; neque porro Romam deportare, ob imperitiam rei maritimæ, quippe penitus mediterranei, poterant. Quod erat reliquum, legationem Rhodum mittere, et in Macedoniam ad proconsulem cogebantur, rogantes, ut accipere hominem vellent. At L. Æmilius cum Cibyratis quidem scripsisset, ut Polyaratum in arta custodia haberent, Rhodumque deducerent, Rhodiis vero, ut eumdem mari Romam tuto deferri curarent; re ab utrisque, ut imperatum erat, perfecta; tandem Polyaratus Romam venit, et imprudentiam et mollitiem animi sui quasi spectaculo, quantum in ipso erat, traducens, traditusque non a Ptolemæo solum rege, sed etiam a Phaselitis, et Cibyratis, ac Rhodiis, per propriam suam stultitiam. Quorsum vero de *Dinone ac Polyarato* prolixior a nobis instituta oratio est? Non sane, ut eorum calamitati insultare videar; id enim quidem importunum foret: sed ut, ob oculos posita illorum impru-

τιον παρασκευάσω καὶ βουλεύεσθαι καὶ φρονεῖν τοὺς A. U. 587.
κατὰ τὰς περιστάσεις εἰς παραπλησίους ἐμπίπτοντας
καιρούς.

* * *

X. Μετὰ τὴν τοῦ Περσέως κατάλυσιν, ἅμα τῷ Græcorum legationes ad Romanos in Macedon.
κριθῆναι τὰ ὅλα, πανταχόθεν ἐξέπεμπον πρέσβεις, συγ-
2 χαρησομένους τοῖς στρατηγοῖς ἐπὶ τοῖς γεγονόσιν. Τῶν
δὲ πραγμάτων ὁλοσχερῶς ἐπὶ Ῥωμαίους κεκλικότων,
ἐπιπολάζοντες διὰ τὸν καιρὸν οἱ δοκοῦντες εἶναι φίλοι
Ῥωμαίων ἐν πᾶσι τοῖς πολιτεύμασιν, εἴς τε τὰς πρεσ-
3 βείας οὗτοι καθίσταντο καὶ τὰς ἄλλας χρείας. Διὸ
συνέδραμον εἰς τὴν Μακεδονίαν ἐκ μὲν Ἀχαΐας Καλλι-
κράτης, Ἀριστόδαμος, Ἀγησίας, Φίλιππος· ἐκ δὲ
4 Βοιωτίας οἱ περὶ Μνάσιππον· ἐκ δὲ τῆς Ἀκαρνανίας
οἱ περὶ [s] Χρέμην· παρὰ δὲ τῶν Ἠπειρωτῶν οἱ περὶ τὸν
Χάροπα καὶ Νικίαν· παρὰ δὲ τῶν Αἰτωλῶν οἱ περὶ τὸν
5 Λυκίσκον καὶ Τίσιππον. Ἁπάντων δὲ τούτων ὁμοῦ
γενομένων, καὶ πρὸς [t] τὴν αὐτὴν ὑπόθεσιν ἁμιλλωμένων
προθύμως, [u] μηδενὸς ὑπάρχοντος ἀνταγωνιστοῦ, διὰ τὸ
τοὺς ἀντιπολιτευομένους ἅπαντας, εἴκοντας τοῖς καιροῖς,
ἀνακεχωρηκέναι τελέως· ἀκονιτὶ κατεκράτησαν τῆς ὑπο-
6 θέσεως οἱ προειρημένοι. Πρὸς μὲν οὖν τὰς ἄλλας πόλεις Græcorum legationes Romam.
καὶ τὰς ἐθνικὰς συστάσεις οἱ δέκα δι' αὐτῶν τῶν στρα-

[s] Χρέμαν h. l. Bav. Alibi Χρεμίας, alibi Χρεμάτας vocatur in libris Polybianis.
[t] τὴν αὐτὴν correxi cum Reisk. ex mente Casaub. Vulgo αὐτὴν τὴν ὑπόθ.
[u] Vulgo καὶ μηδενὸς ὑπάρχ. Delevi copulam cum Bav.

dentia, alios commonefaciam, si quando in similia tempora inciderint, ut fortius meliusque sibi consulant.

* * *

(*Legatio XCIV.*)

X. Post eversum *Persei* regnum, statim a victoria, quæ bello finem imposuit, undique legationes mittebantur, ad gratulandum ducibus Romanis ob rem bene gestam. Et quum ad Romanos summa rerum inclinaret; quoniam in singulis civitatibus superiores tum erant, pro conditione temporum, qui existimabantur amici Romanorum esse, et legationes et aliarum rerum administrationes illis mandabantur. Venerunt igitur tempore eodem in Macedoniam, ex Achaia, Callicrates, Aristodamus, Agesias, Philippus: e Bœotia, Mnasippus: ex Acarnania, Chremes: ex Epiro, Charops et Nicias: ex Ætolia, Lyciscus et Tisippus. Qui quum omnes simul adessent, et ad eumdem scopum omnes studiose collimarent in orationibus suis, neque exstaret quisquam, qui se illis opponeret, quia omnes, quicumque aliarum erant partium, temporibus cedentes a gubernaculis reipublicæ penitus sese removerant; nullo penitus negotio destinata perfecerunt. Igitur ceteris quidem civitatibus et gentium conciliis decem legati per ipsos

Ol. 153. 1. τηγῶν ἐποιήσαντο τὴν ἐπιταγὴν, [x]οὓς δεήσει πορεύεσθαι
τῶν ἀνδρῶν εἰς τὴν Ῥώμην. οὗτοι δ' ἦσαν, [y]οὓς ἀνεῖπαν, 7
οὓς ἀπέγραψαν οἱ προειρημένοι κατὰ τὰς ἰδίας ἀν-
τιπαραγωγὰς, πλὴν ὀλίγων τελέως, τῶν ἔκδηλόν τι
Causa Achæorum. πεποιηκότων. Πρὸς δὲ τὸ τῶν Ἀχαιῶν ἔθνος πρεσβευτὰς 8
ἐξέπεμψαν, τοὺς ἐπιφανεστάτους ἄνδρας τῶν δέκα,
Γάϊον Κλαύδιον καὶ Γνάϊον Δομέτιον, διὰ δύο αἰτίας·
πρῶτον μὲν, εὐλαβούμενοι τοὺς Ἀχαιοὺς, μή ποτ' οὐ 9
Callicrates calumniatur Achæos. [z]πειθαρχήσωσι τοῖς γραφομένοις, ἀλλὰ καὶ κινδυνεύ-
σωσιν οἱ περὶ τὸν Καλλικράτην, δόξαντες ἐξειργάσθαι
τὰς κατὰ πάντων τῶν Ἑλλήνων διαβολὰς, ὃ κατ'
ἀλήθειαν ἦν· δεύτερον δὲ, διὰ τὸ μηδὲν ἐν τοῖς αἰχμα- 10
λώτοις γράμμασιν ἀκριβὲς εὑρῆσθαι κατὰ μηδενὸς τῶν
Ἀχαιῶν. Περὶ μὲν οὖν τούτων μετά τινα χρόνον ἐξέ- 11
πεμπεν ὁ στρατηγὸς τὰς ἐπιστολὰς καὶ τοὺς πρέσβεις,
καίπερ οὐκ εὐδοκούμενος, κατά γε τὴν [a]αὐτοῦ γνώμην,
ταῖς τῶν περὶ τὸν Λυκίσκον καὶ Καλλικράτην διαβο-
λαῖς, ὡς ἐξ αὐτῶν τῶν πραγμάτων ὕστερον ἐγένετο
καταφανές.

* * *

Ptolemæorum legatio Romam. XI. Κατὰ τὴν Αἴγυπτον οἱ βασιλεῖς, ἀπολελυμένοι τοῦ πρὸς Ἀντίοχον πολέμου, πρῶτον μὲν εἰς Ῥώμην πρεσβευτὴν ἐξέπεμψαν [b]Νουμένιον, ἕνα τῶν φίλων,

[x] ὃν δεήσει Bav. [y] οὓς ἀνεῖπαν correxi cum Ernest. ὡς ἀπεῖσαν cod. Urs. unde Ursinus οὓς ἀπεῖπαν fecit. ὡς εἰπεῖν suspicatus est Reisk. ὡς ἀπεῖπαν Bav. [z] πειθαρχήσωσι et κινδυνεύσωσιν correxi. Vulgo omnes πειθαρχήσουσι et κινδυνεύσουσιν. [a] ἐμαυτοῦ maluit Reisk. [b] Νουμίνιον Bav.

Romanos duces imperarunt, quosnam vellent Romam sequi [ad dicendam caussam.] Hi autem erant, quos prædicti viri denunciaverant, quorum nomina ipsi ediderant, quisque pro suæ factionis studio; præter oppido paucos, qui manifestum aliquid patraverant. Ad gentem vero *Achæorum* clarissimos e decem legatorum numero miserunt, C. Claudium et Cn. Domitium; idque duas ob caussas, primum quia verebantur, ne Achæi facere, quæ literis essent imperata, nollent, atque etiam ne in periculum *Callicrates* veniret, utpote qui contra omnes calumnias detulisse videbatur, quod etiam revera ille fecerat: deinde, quia in literis, quæ fuerant captæ, nihil explorati aut certi adversus quemquam Achæorum erat repertum. De his igitur aliquanto post literas et legatos consul misit, qui tamen, ut mihi quidem videtur, *Lycisci et Callicratis* calumnias non probabat, quod etiam postea rebus ipsis manifestum est factum.

* * *

(*Legatio XCV.*)

XI. *Ægypti reges*, liberati bello contra Antiochum, ante omnia legatum Romam miserunt *Numenium*, ex numero amicorum, gratias pro acceptis

εὐχαριστήσοντα περὶ τῶν εἰς αὐτοὺς γεγονότων εὐεργε- A. U. 587.
2 τημάτων· ἀπέλυσαν δὲ καὶ τὸν Λακεδαιμόνιον Μεναλ- Menalcidas, Laced.
κίδαν, ἐνεργῶς κεχρημένον τοῖς κατὰ τῆς βασιλείας καιροῖς πρὸς τὴν ἰδίαν ἐπανόρθωσιν, Γαΐου Ποπιλλίου [c] τὴν ὑπὲρ τῆς ἀπολύσεως χάριν αἰτησαμένου παρὰ τῶν βασιλέων.

* * *

XII. Κατὰ τὸν καιρὸν τοῦτον Κότυς, ὁ τῶν Ὀδρυσῶν Cotyis legatio.
βασιλεὺς, ἀπέστειλε πρεσβευτὰς εἰς τὴν Ῥώμην· ἀξιῶν ἀποδοθῆναι τὸν υἱὸν αὐτῷ, καὶ περὶ τῆς γενομένης πρὸς
2 Περσέα κοινοπραγίας δικαιολογούμενος. Οἱ δὲ Ῥωμαῖοι, νομίσαντες ἠνύσθαι σφίσι τὸ προκείμενον, τοῦ πρὸς τὸν Περσέα πολέμου κατὰ νοῦν προκεχωρηκότος, τὴν δὲ πρὸς Κότυν διαφορὰν πρὸς οὐδὲν ἔτι διατείνειν,
3 συνεχώρησαν αὐτῷ κομίζεσθαι τὸν υἱὸν, ὃς, ὁμηρείας χάριν δοθεὶς εἰς Μακεδονίαν, ἑαλώκει μετὰ τῶν Περσέως
4 τέκνων· βουλόμενοι τὴν αὐτῶν πρᾳότητα καὶ μεγαλοψυχίαν ἐμφαίνειν, ἅμα δὲ καὶ τὸν Κότυν αἰδούμενοι διὰ τῆς τοιαύτης χάριτος.

(II.) L. Anicius *triumphat de Illyriis.*

* * *

XIII. Λεύκιος δ' Ἀνίκιος, Ἰλλυριοὺς καταπολεμήσας, καὶ αἰχμάλωτον ἀγαγὼν [d] Γένθιον τὸν τῶν Ἰλλυ- Genthius in triumpho ductus.

[c] ταύτην ὑπὲρ τῆς διαλύσεως suspicatus est Reisk. [d] Vulgo Γέντιον.

beneficiis acturum. Missum etiam fecerunt *Menalcidam* Lacedæmonium, qui gravibus regum temporibus sedulo erat abusus ad rem familiarem augendam; cujus liberationem *C. Popillius* loco beneficii a regibus petierat.

* * *
(*Legatio XCVI.*)

XII. Per idem tempus *Odrysarum* rex *Cotys* legatos Romam misit, *filium sibi reddi* postulans, et *de inita cum Perseo societate* rationem reddens. Romani, re jam perfecta quam destinaverant, quum ex animi sententia bellum adversus Perseum eis successisset, neque quidquam amplius ipsorum interesset, ut inimicitias cum Cotye exercerent, filium ei reducendum permiserunt, qui obses in Macedoniam a patre missus, una cum Persei liberis fuerat captus; ut eo pacto et benignitatem suam atque animi magnitudinem ostenderent, et Cotyi hoc beneficio honorem habuisse viderentur.

(II.) *Apud Athenæum Lib.* XIV. *Cap.* 1.

* * *

XIII. *L. Anicius*, is qui *Illyrios* debellavit, et *Genthium* Illyriorum regem cum liberis in triumphum duxit, ludis, quos victoriæ caussa edidit, ma-

Ol. 153. 1. ριῶν βασιλέα σὺν τοῖς τέκνοις, ἀγῶνας ἐπιτελῶν τοὺς
ἐπινικίους ἐν τῇ Ῥώμῃ, παντὸς γέλωτος ἄξια ἐποίησεν,
ὡς Πολύβιος ἱστορεῖ ἐν τῇ τριακοστῇ. Μεταπεμ- 2
ψάμενος γὰρ τοὺς ἐκ τῆς Ἑλλάδος ἐπιφανεστάτους
τεχνίτας, καὶ σκηνὴν κατασκευάσας μεγίστην ἐν τῷ
Ludi Circenses. Κίρκῳ, πρώτους εἰσῆγεν αὐλητὰς ἅμα πάντας. οὗτοι 3
δ' ἦσαν Θεόδωρος ὁ Βοιώτιος, Θεόπομπος, Ἕρμιππος
[e]καὶ Λυσίμαχος, οἵ τινες ἐπιφανέστατοι ἦσαν. Τού- 4
τους δὲ στήσας ἐπὶ τὸ προσκήνιον μετὰ τοῦ χοροῦ,
αὐλεῖν ἐκέλευσεν ἅμα πάντας. Τῶν δὲ διαπορευομένων 5
τὰς κρούσεις κατὰ τῆς ἁρμοζούσης κινήσεως, οὐκ ἔφη
Certamen tibicinum. καλῶς αὐτοὺς αὐλεῖν· ἀλλ' ἀγωνίζεσθαι μᾶλλον ἐκέ-
λευε. τῶν δὲ διαπορούντων, ὑπέδειξέ τις τῶν ῥαβδούχων 6
ἐπιστρέψαντας [f]ἀπαγαγεῖν ἐπ' αὐτοὺς, καὶ ποιεῖν ὡσανεὶ
μάχην. ταχὺ δὲ συννοήσαντες οἱ αὐληταὶ, καὶ λαβόν- 7
τες [g]οἰκείαν ταῖς ἑαυτῶν ἀσελγείαις, μεγάλην ἐποιή-
σαντο σύγχυσιν. Συνεπιστρέψαντες γὰρ τοὺς μέσους 8
χοροὺς πρὸς τοὺς ἄκρους, οἱ μὲν αὐληταὶ φυσῶντες
ἀδιανόητα καὶ διαφέροντες τοὺς αὐλοὺς, [h]ἀπῆγον ἀνὰ
μέρος ἐπ' ἀλλήλους. ἅμα δὲ τούτοις ἐπικτυποῦντες οἱ 9
χοροὶ καὶ συνεπεισιόντες τὴν σκηνὴν, ἐπεφέροντο τοῖς
ἐναντίοις, καὶ πάλιν ἀνεχώρουν ἐκ μεταβολῆς. Ὡς δὲ 10
καὶ περιζωσάμενός τις τῶν χορευτῶν ἐκ τοῦ χοροῦ

[e] *καὶ Λυσίμαχος* debetur Valesio in Fragm. Polyb. Apud Athenæum vulgo legitur Ἕρμιππος ὁ Λυσίμαχος. Unde Ἑρμ. ὁ Λυσιμάχου vel Λυσιμάχιος suspicatus est Casaub. [f] An ἐπαγαγεῖν? [g] Ad οἰκείαν Casaub. excidisse suspicatus est vocab. ἔννοιαν. Valesius ἐξουσίαν. [h] An ἐπῆγον?

ximum risum concitavit, ut narrat Polybius *libro tricesimo*. Accitis enim e Græcia clarissimis artificibus, exstructaque in circo amplissima scena, primos induxit tibicines simul omnes, Theodorum Bœotum, Theopompum, Hermippum ac Lysimachum, qui tum totius Græciæ celeberrimi habebantur. Hos cum in proscenio statuisset una cum choro, simul canere omnes jussit. Illis vero modulato ac numeroso digitorum motu tibias percurrentibus, *Anicius* misit, qui admonerent, hujusmodi cantum non placere, jussitque ut potius *certarent*. Cum ambigerent *tibicines*, hærerentque ancipites, quidam e lictoribus significavit, ut in seipsos conversi concurrerent, ac pugnæ speciem ederent. Postquam quid sibi Anicius vellet intellexere, convenientem lasciviæ suæ licentiam nacti, omnia permiscuerunt. Medios quippe choros convertentes adversus extremos, ipsi quidem insana quædam ac dissonantia tibiis canentes, in se vicissim mutuo impetu ferebantur. Simul vero perstrepentes chori, et in scenam procurrentes, in adversos ruebant, ac rursus quasi terga dantes recedebant. Sed ubi nescio quis e choro, præcincta veste, repente sese obvertens, in tibicinem adversum manus sustulit, tam-

στραφεὶς ἦρε τὰς χεῖρας ἀπὸ πυγμῆς πρὸς τὸν ἐπι- A. U. 587.
φερόμενον αὐλητὴν, τότ' ἤδη κρότος ἐξαίσιος ἐγίνετο,
11 καὶ κραυγὴ τῶν θεωμένων. Ἔτι δὲ τούτων ἐκ παρα- Saltatores.
τάξεως ἀγωνιζομένων, ὀρχησταὶ δύο εἰσήγοντο μετὰ
συμφωνίας εἰς τὴν ὀρχήστραν, καὶ πύκται τέσσαρες Pugiles.
ἀνέβησαν ἐπὶ τὴν σκηνὴν μετὰ σαλπιγκτῶν καὶ [1]βυκα-
12 νητῶν. ὁμοῦ δὲ τούτων πάντων ἀγωνιζομένων, ἄλεκτον
ἦν τὸ συμβαῖνον. Περὶ δὲ τῶν τραγῳδῶν, φησὶν ὁ
Πολύβιος, ὅτι ἐὰν ἐπιβάλωμαι λέγειν, δόξω τισὶ δια-
χλευάζειν.

II.

RES IN GRÆCIA GESTÆ.

(I.) *Res* ÆTOLORUM *et* EPIROTARUM.

* * *

XIV. ΟΙ Αἰτωλοὶ τὸν βίον ἀπὸ λῃστείας καὶ τῆς Cædes et tumultus apud Ætolos.
2 τοιαύτης παρανομίας εἰώθεισαν ἔχειν. Καὶ ἕως μὲν
ἐξῆν τοὺς Ἕλληνας φέρειν καὶ λεηλατεῖν, ἐκ τούτων
ἐπορίζοντο τοὺς βίους, πᾶσαν γῆν ἡγούμενοι πολεμίαν.
3 Μετὰ δὲ ταῦτα Ῥωμαίων ἐπιστάντων τοῖς πράγμασι,
κωλυθέντες τῆς ἔξωθεν ἐπικουρίας, εἰς ἑαυτοὺς κατήν-
4 τησαν. Καὶ πρότερον μὲν κατὰ τὸν ἐμφύλιον πόλεμον
5 οὐκ ἔστιν, ὃ τῶν δεινῶν οὐκ ἔπραξαν. Βραχεῖ δ' ἀνώ-

[1] βυκανητῶν ex edit. Basil. Athenæi restitui. βυκανιστῶν Casaub.

quam pugilatu dimicaturus, tum vero immanis plausus clamorque spectantium excitatus est. Illis vero inter se adhuc dimicantibus, repente in orchestram *saltatores* duo processere cum symphonia: simul quatuor *pugiles* cum tubicinibus et buccinatoribus in scenam conscenderunt. Qui cum simul omnes inter se certarent, dici vix potest quale fuerit spectaculum. De *tragœdis* vero (ait Polybius) si quid dicere adgrediar, vereor ne quibusdam ludere videar ac jocari.

II.

(I.) *Excerpta Valesiana.*

* * *

XIV. ERAT in more institutoque *Ætolorum*, latrociniis atque hujusmodi sceleribus victum parare. Ac quamdiu quidem illis licuit Græciam populari, ea præda se sustentare consueverant, omnem agrum pro hostico habentes. Postea vero, ex quo Romani intenti rebus Græcorum esse cœperunt, cum aliena diripere non amplius sinerentur, in semet ipsos rabiem verterunt. Ac primum quidem civili bello nullum crudelitatis genus prætermiserunt. Paullo vero superiori memoria, gustato mutuo cruore in cæde illa ad

Ol. 153. 1. τερον χρόνῳ γεγευμένοι τοῦ φόνου τοῦ κατ' ἀλλήλων ἐν
ταῖς κατὰ τὴν Ἀρσινοΐαν σφαγαῖς, ἕτοιμοι πρὸς πᾶν
ἦσαν, ἀποτεθηριωμένοι τὰς ψυχάς, ὥστε μηδὲ βουλὴν
διδόναι τοῖς προεστῶσι. Διόπερ ἦν ἀκρισίας καὶ παρα- 6
νομίας καὶ φόνου πλήρη τὰ κατὰ τὴν Αἰτωλίαν· καὶ
τῶν πραττομένων παρ' αὐτοῖς ἐκ λογισμοῦ μὲν καὶ
προθέσεως οὐδὲν ἐπετελεῖτο, πάντα δ' εἰκῇ καὶ φύρδην
ἐπράττετο, καθάπερ εἰ λαίλαπός τινος ἐκπεπτωκυίας εἰς
αὐτούς.

*

Charops nequissimus hominum.

Κατὰ τὴν Ἤπειρον παραπλήσια τούτοις ἔπραττον. 7
Ἐφ' ὅσον γὰρ οἱ πολλοὶ τῶν ἀνθρώπων μετριώτεροι τῶν 8
κατὰ τὴν Αἰτωλίαν ἦσαν, ἐπὶ τοσοῦτον ὁ προεστὼς αὐτῶν
ἀσεβέστερος καὶ παρανομώτατος ὑπῆρχε τῶν ἄλλων.
δοκῶ γὰρ, μὴ γεγονέναι μηδ' ἔσεσθαι θηριωδέστερον 9
ἄνθρωπον, μηδὲ σκαιότερον, Χάροπος.

(II.) ÆMILIUS PAULUS *civitates Græciæ obit, et per Epirum Romam proficiscitur.*

* * *

Sicyon, Argos.

XV. Ἐπισημηνάμενος δὲ τοῦ Σικυῶνος τὴν ὀχυρότητα, καὶ τὸ βάρος τῆς τῶν Ἀργείων πόλεως, ἦλθεν εἰς Ἐπίδαυρον.

*

Arsinoiam patrata, animis efferati, ad omnia parati erant; adeo ut ne principibus quidem, qui rempublicam gerebant, consultandi locum ullum darent. Itaque temeritate et violentia ac *cædibus plena* erant *cuncta in Ætolia:* et quæcumque ab iis tunc agebantur, ea non consilio ac ratione, sed temere ac tumultuarie fiebant, prorsus quasi atrox quædam procella in rempublicam eorum incubuisset.

*

Eadem in *Epiro* rerum facies erat. Quanto enim hic modestiores homines, quam in Ætolia erant; tanto sceleratior ac nequior horum princeps fuit. Prorsus enim sic existimo, nec tetriorem nec sæviorem *Charope* hominem umquam exstitisse, nec posthac exstiturum.

(II.) *Apud Suidam et Strabonem.*

* * *

XV. [*Æmilius Paulus,*] cum admiratus esset *Sicyonis* munitionem, et urbis *Argivorum* opes, *Epidaurum* adiit. (*Suidas in* Βάρος.)

*

2 Πάλαι μετέωρος ὢν εἰς τὴν τῆς Ὀλυμπίας θέαν ὥρμησε. A. U. 587.

*

3 Λεύκιος Αἰμίλιος παρῆν εἰς τὸ τέμενος τὸ ἐν Ὀλυμπίᾳ, καὶ τὸ ἄγαλμα θεασάμενος ἐξεπλάγη, καὶ τοι- Jupiter Olympius.
4 οῦτον εἶπεν· ὅτι μόνος αὐτῷ δοκεῖ Φειδίας τὸν παρ' Ὁμήρῳ Δία μεμιμῆσθαι· διότι μεγάλην ἔχων προσδοκίαν τῆς Ὀλυμπίας, μείζω τῆς προσδοκίας εὑρηκὼς εἴη τὴν ἀλήθειαν.

* *

5 Τῶν Ἠπειρωτῶν ἑβδομήκοντα πόλεις Πολύβιός φησιν ἀνατρέψαι Παῦλον τὸν Αἰμίλιον μετὰ τὴν Μακεδόνων LXX oppida Epiri evertit Æmilius.
6 καὶ Περσέως κατάλυσιν. Μολοττῶν δ' ὑπάρξαι τὰς πλείστας· πέντε δὲ καὶ δέκα μυριάδας ἀνθρώπων ἐξανδραποδίσασθαι.

III.

Ol. 153. 2. A. U. 588.

RES IN ITALIA GESTÆ ANNO DLXXXVIII.

(I.) Prusias *Romam venit.*

* * *

XVI. ΚΑΤΑ τὸν αὐτὸν καιρὸν ἦλθε καὶ Προυσίας ὁ βασιλεὺς εἰς τὴν Ῥώμην, συγχαρησόμενος τῇ συγκλήτῳ Prusiæ turpis adulatio.
2 καὶ τοῖς [k] στρατηγοῖς ἐπὶ τοῖς γεγονόσιν. Ὁ δὲ Προυσίας οὗτος οὐδαμῶς γέγονεν ἄξιος τοῦ τῆς βασιλείας

[k] *στρατηγοῖς* correxi cum viris doctis. Vulgo *στρατιώταις* edd. et MSti.

Jam olim cupidus spectandæ *Olympiæ*, eo profectus est. (*Suid. in* Μετέωρος.)

*

L. Æmilius, in templum ingressus quod erat *Olympiæ*, et [*Jovis*] *statuam* contemplatus, obstupuit: dixitque, *solum Phidiam sibi videri Homericum Jovem expressisse: se enim, cum magnam Olympiæ exspectationem habuisset, veritatem exspectatione majorem reperisse.* (*Suid. in* Φειδίας.)

* *

Polybius scriptum reliquit: *Paulum Æmilium* LXX *urbes Epirotarum evertisse, Macedonibus et Perseo domitis; quarum plerasque fuisse* ait *Molossorum: eumdemque in servitutem abduxisse* CL *hominum millia.* (*Strabo Lib.* VII. *p.* 322.)

III.

(I.) *Legatio XCVII.*

* *

XVI. EODEM quoque tempore et Prusias, Bithyniæ rex, *Romam* venit, ad gratulandum senatui et imperatoribus de parta victoria. Hic autem *Prusias* nequaquam majestate regia ullo modo dignus erat; quod ex

Ol. 153. 2. προσχήματος· τεκμήραιτο δ' ἄν τις ἐκ τούτων· ὅς γε 3
πρῶτον μὲν, πρεσβευτῶν παραγεγονότων Ῥωμαϊκῶν πρὸς
αὐτὸν, ἐξυρημένος τὴν κεφαλὴν, καὶ πίλεον ἔχων, καὶ
τήβενναν, καὶ καλικίους, ἀπήντα τούτοις, καὶ καθόλου
τοιαύτῃ διασκευῇ κεχρημένος, οἵαν ἔχουσιν οἱ προσ-
φάτως ἠλευθερωμένοι παρὰ Ῥωμαίοις, οὓς καλοῦσι
λιβέρτους. καὶ δεξιωσάμενος τοὺς πρεσβευτὰς, Ὁρᾶτε, 4
ἔφη, τὸν ὑμέτερον λίβερτον ἐμὲ, πάντα βουλόμενον
χαρίζεσθαι, καὶ μιμεῖσθαι τὰ παρ' ὑμῖν. ἧς ἀγεννε-
στέραν φωνὴν οὐ ῥᾴδιον [l]εἰπεῖν. [m]Τότε δὲ κατὰ τὴν 5
εἴσοδον [n]γενόμενος τὴν εἰς τὴν σύγκλητον, στὰς κατὰ
τὸ θύρετρον ἀντίος τοῦ συνεδρίου, καὶ καθεὶς τὰς χεῖρας
ἀμφοτέρας, προσεκύνησε τὸν οὐδὸν καὶ τοὺς καθημένους,
ἐπιφθεγξάμενος, Χαίρετε, θεοὶ σωτῆρες· ὑπερβολὴν οὐ
καταλιπὼν ἀνανδρίας, ἅμα δὲ καὶ [o]γυναικισμοῦ καὶ
κολακείας, οὐδενὶ τῶν ἐπιγενομένων. Ἀκόλουθα δὲ 6
τούτοις καὶ κατὰ τὴν κοινολογίαν, εἰσελθὼν, ἐπετε-
λέσατο· περὶ ὧν καὶ τὸ γράφειν [p]ἀπρεπὲς ἦν. Φανεὶς 7
δὲ τελέως εὐκαταφρόνητος, ἀπόκρισιν ἔλαβε δι' αὐτὸ
τοῦτο φιλάνθρωπον.

*

Eumenes Romam venire prohibetur.

XVII. Ἤδη δὲ τούτου τας ἀποκρίσεις εἰληφότος,
προσέπεσε, παραγίγνεσθαι τὸν Εὐμένη. Τοῦτο δὲ τὸ 2

[l] ῥᾴδιον εὑρεῖν legitur apud Diodorum Sic. [m] Ante τότε δὲ ex eodem Diodoro restituenda Polybio videntur hæc fere verba: πολλὰ δὲ καὶ ἄλλα τούτοις παραπλήσια διεπράξατο· καὶ τότε δὲ &c. [n] γενόμενος, quod abest vulgo, inserui ex Diod. [o] Mendose vulgo γυναικιασμοῦ. [p] ἦ suspicatus est Reisk. Mihi intercidisse partic. ἂν videtur.

his facile aliquis colligat. Primum enim, quum legati ad ipsum Romani venissent, raso capite, pileatus, togatus, calceatus obviam iis processerat, plane eo habitu, qualis solet esse apud Romanos recens manumissorum, quos *libertos* vocant: et quum legatos salutasset, *Ecce me*, inquit, *vestrum libertum, omnia vestra caussa cupientem, instituta omnia vestra imitari paratum.* Qua voce nulla fingi potest minus generosa. Tunc vero ingressus curiam, ad januam stans curiæ ex adverso patrum, demissis manibus limen salutavit senatorumque consessum, et simul, *Salvete*, inquit, *dii servatores mei.* Quæ vox adeo indigna viro est, adeo muliebres sapit blanditias et adulationem, ut nihil fœdius ventura post ætas sit latura. Similis istis et oratio fuit, quam ingressus curiam habuit; cujus vel meminisse hoc loco dedecet. Hujus summa vilitate animadversa, Romani responsum tanto benignius dederunt.

*

XVII. Postquam Prusiæ responsum illud dedit senatus, adlata est fama, adventare *Eumenem*: quæ res sollicitos non mediocriter habuit patres.

πρᾶγμα πολλὴν ἀπορίαν παρέσχε τοῖς ἐν τῷ συνεδρίῳ. A.U. 588.
διαβεβλημένοι γὰρ πρὸς αὐτὸν, καὶ διαλήψεις ἀμε-
ταθέτους ἔχοντες, οὐκ ἐβούλοντο κατ' οὐδένα τρόπον
3 ἐμφανίζειν αὐτούς. Πᾶσι γὰρ ἀναδεδειχότες πρῶτον
καὶ μέγιστον φίλον τὸν βασιλέα τοῦτον, ἔμελλον, εἰς
ὄψιν ἐλθόντες, καὶ προσδεξάμενοι δικαιολογίαν, εἰ μὲν
τὸ δοκοῦν ἀποκριθεῖεν ἀκολουθοῦντες ταῖς ἰδίαις διαλή-
ψεσιν, ἐκθεατρειεῖν αὐτοὺς, εἰ τοιοῦτον ἄνθρωπον ἐπὶ
4 τοσοῦτον ἐξετίμησαν ἐν τοῖς ἀνώτερον χρόνοις· εἰ δὲ
[q]δουλεύοντες τῇ τῶν ἐκτὸς φαντασίᾳ φιλανθρώπως ἀπο-
κριθεῖεν, παρόψεσθαι τὴν ἀλήθειαν καὶ τὸ τῇ πατρίδι
5 συμφέρον. Διόπερ ἐξ ἑκατέρας τῆς ἀποφάσεως μέλ-
λοντος ἀπιθάνου τινὸς αὐτοῖς ἐξακολουθήσειν, [r]εὗροντο
6 λύσιν τοῦ προβλήματος τοιαύτην. Ὡς γὰρ καθόλου
δυσαρεστούμενοι ταῖς τῶν βασιλέων ἐπιδημίαις, δόγμα
τι τοιοῦτον ἐξέβαλον· Μηδένα βασιλέα παραγίγνεσθαι Reges prohibentur Italia.
7 πρὸς αὐτούς. Μετὰ δὲ ταῦτα πυθόμενοι τὸν Εὐμένη
καταπεπλευκέναι τῆς Ἰταλίας εἰς Βρεντέσιον, ἐπαπέ-
στειλαν τὸν ταμίαν, φέροντα τὸ δόγμα, καὶ κελεύοντα
λέγειν πρὸς αὐτὸν, εἴ τι τυγχάνει τῆς συγκλήτου
8 χρείαν ἔχων· εἰ δὲ μηδενὸς δεῖται, παραγγελοῦντα τὴν
9 ταχίστην αὐτὸν ἐκ τῆς Ἰταλίας ἀπαλλάττεσθαι. Ὁ
δὲ βασιλεὺς, συμμίξαντος αὐτῷ τοῦ ταμίου, γνοὺς
τὴν τῆς συγκλήτου προαίρεσιν, εἰς τέλος ἀπεσιώπησεν,

[q] δουλεύοντες correxit Ursin. βουλεύοντες MSti. [r] εὗρον τὴν λύσιν Bav.

Nam quum odium illius concepissent, certaque ac fixa staret illis sententia; indicium tamen hujus suæ voluntatis nullo pacto dare volebant. Qui enim omnibus ostenderant, regem se *Eumenem* omnium primum et maximum ex populi Romani amicis habere; hi, si nunc eidem, in conspectum suum ad caussam dicendam admisso, responsum ex animi sui sententia dedissent, imprudentiam suam publicaturi erant, qui hominem iis moribus tanti fecissent antea: sive, famæ publicæ serviendo, benigne ei respondissent, in veritatem et utilitatem patriæ erant peccaturi. Quoniam igitur utroque modo eventura erant, quæ nollent, huic incommodo sic occurrerunt. Nam quasi in universum ipsis displiceret Romam adventus regum, *senatusconsultum* est ab iis editum, quo *vetabant, reges ullos ad se venire.* Deinde certiores facti, *Eumenem* Brundusium in Italiam adpulisse, quæstorem ad eum miserunt, qui decretum senatus ei adferret, et *dicere* eum juberet, *ecquid ope senatus in aliquo esset ei opus: quod si patres nihil posceret,* denunciaret ei, ut *quam primum Italia excederet.* Rex, habito cum quæstore colloquio, intellecta senatus voluntate, verbum nullum commutavit, *nulla re opus habere*

Ol. 153. 2. οὐδενὸς [s]φήσας προσδεῖσθαι. Καὶ δὴ τούτῳ τῷ τρόπῳ 10
συνέβη τὸν Εὐμένη κωλυθῆναι τῆς εἰς τὴν Ῥώμην ἀνα-
Eumenem deprimunt Romani. βάσεως. Συνηκολουθήκει δὲ καὶ ἕτερόν τι πραγματικὸν 11
τούτῳ τῷ διαβουλίῳ. μεγάλου γὰρ ὑπὸ τῶν Γαλατῶν 12
ἐπικρεμαμένου κινδύνου τῇ βασιλείᾳ, προφανὲς ἦν, ὅτι
διὰ τὸν σκυβαλισμὸν τοῦτον οἱ μὲν τοῦ βασιλέως σύμ-
μαχοι ταπεινωθήσονται πάντες, οἱ δὲ Γαλάται διπλα-
σίως ἐπιῤῥωσθήσονται πρὸς τὸν πόλεμον. Διὸ, πάντη 13
πάντως βουλόμενοι ταπεινοῦν αὐτὸν, ἐπὶ ταύτην κατην-
Legatis datur senatus. έχθησαν τὴν γνώμην. Τούτων δὲ γιγνομένων ἔτι [t]κατὰ 14
τὰς ἀρχὰς τοῦ χειμῶνος, λοιπὸν ἡ σύγκλητος ἅπασι
τοῖς παραγεγονόσι κατὰ πρεσβείαν (οὐ γὰρ ἦν οὔτε 15
πόλις, οὔτε δυνάστης, οὔτε βασιλεὺς, ὃς οὐκ ἀπε-
στάλκει πρεσβείαν κατ' ἐκεῖνον τὸν καιρὸν, τὴν συγ-
χαρησομένην ἐπὶ τοῖς γεγονόσιν·) οἷς ἅπασιν οἰκείως 16
ἀπήντησε καὶ φιλανθρώπως, πλὴν τῶν Ῥοδίων. τούτους 17
δὲ παρέπεμπε, ποικίλας ἐμφάσεις ποιοῦσα περὶ τοῦ
μέλλοντος. Ἐπείχετο δὲ καὶ κατὰ τοὺς Ἀθηναίους.

(II.) *Legatio Atheniensium.*

*

Petunt de Haliarto, Delo et Lemno. XVIII. [u]Οἱ Ἀθηναῖοι παρεγένοντο πρεσβεύοντες, τὸ
μὲν πρῶτον ὑπὲρ τῆς τῶν Ἁλιαρτίων σωτηρίας. παρα- 2

[s] φήσας correxi cum Reiskio. Vulgo φήσαντος. [t] κατὰ τὰς ἀρχὰς ex conject. scripsi. Vulgo κατ' ἀρχάς. [u] Proxime hæc cohærent cum præcedenti ecloga. adeoque legendum videtur Οἱ μὲν γάρ.

se confirmans. Hoc pacto consecuti sunt Romani, ne *Eumenes* Romam veniret. Sed et aliud quid præterea hoc senatusconsulto sunt consecuti, quod adprime ad rem faciebat. Nam quum ingens illi regno periculum immineret a Gallogræcis; non erat dubium, quin propter hanc contumeliosam Eumenis rejectionem amicis quidem omnibus illius animi conciderent, Galatæ vero duplo ad persequendum bellum animosiores essent futuri. Qui igitur cuperent omnibus modis Eumenem deprimere, hoc consilium inivetunt. Atque hæc ineunte hieme sunt facta. Secundum quæ omnibus legationibus datus est senatus. Nulla namque fuit civitas, nullus dynasta, nullus rex, qui tempore illo legatos ad gratulandum populo Romano non misisset: quibus omnibus benevole et comiter responsum est, exceptis *Rhodiis;* quibuscum senatus contemtius egit, modo spe, modo metu in posterum ostentato. Verum etiam erga *Athenienses* continuit se senatus.

(II.) *Legatio XCVIII.*

* * *

XVIII. Venerant Romam *Atheniensium legati,* præcipue quidem ad deprecandum pro salute *Haliartiorum.* Quæ illorum oratio quum audita esset

κουόμενοι δὲ περὶ τούτου τοῦ μέρους, ἐκ μεταθέσεως A. U. 588.
διελέγοντο περὶ Δήλου καὶ Λήμνου, καὶ τῆς τῶν
Ἁλιαρτίων χώρας, εἰς ἑαυτοὺς ἐξαιτούμενοι τὴν κτῆσιν·
3 εἶχον γὰρ διττὰς ἐντολάς. Οἷς περὶ μὲν τῶν κατὰ
Δῆλον καὶ Λῆμνον οὐκ ἄν τις ἐπιτιμήσειε, διὰ τὸ καὶ
πρότερον ἀντιπεποιῆσθαι τῶν νήσων τούτων· περὶ δὲ τῆς De Haliarto
τῶν Ἁλιαρτίων χώρας εἰκότως ἄν τις καταμέμψαιτο. iniqua petitio.
4 Τὸ γὰρ, πόλιν σχεδὸν ἀρχαιοτάτην τῶν κατὰ τὴν
Βοιωτίαν, ἐπταικυῖαν, μὴ συνεπανορθοῦν κατὰ πάντα
τρόπον, τὸ δ' ἐναντίον ἐξαλείφειν, ἀφαιρουμένους καὶ
5 τὰς εἰς τὸ μέλλον ἐλπίδας τῶν ἠκληρηκότων· δῆλον, ὡς
οὐδενὶ μὲν ἂν δόξαι τῶν Ἑλλήνων καθήκειν, ἥκιστα δὲ
6 τῶν ἄλλων Ἀθηναίοις. Τὸ γὰρ τὴν μὲν ἰδίαν πατρίδα
κοινὴν ποιεῖν ἅπασι, τὰς δὲ τῶν ἄλλων ἀναιρεῖν, οὐδα-
7 μῶς οἰκεῖον ἂν φανείη τοῦ τῆς πόλεως ἤθους. Πλὴν Delus et
ἥ γε σύγκλητος καὶ τὴν Δῆλον αὐτοῖς ἔδωκε καὶ τὴν Lemnus dantur
Λῆμνον. Καὶ τὰ μὲν κατὰ τοὺς Ἀθηναίους τοιαύτην Atheniensibus.
ἔσχε διάθεσιν.

(III.) *Legatio Rhodiorum.*

✻

XIX. Κατὰ τὸν καιρὸν τοῦτον Θεαίτητος, εἰσελθὼν Theætetus
εἰς τὴν σύγκλητον, λόγους μὲν ἐποιήσατο περὶ τῆς moritur Romæ.
2 συμμαχίας· ὑπερθεμένης δὲ τῆς συγκλήτου τὸ διαβού-

contemtim, aliud agere cœperunt, et sermone de *Delo*, *Lemno* atque agro Haliartiorum instituto, eorum sibi possessionem depoposcerunt: acceperant enim de his rebus duplicia mandata. Ac quæ ad *Delum* quidem et *Lemnum* quod adtinet, cur quisquam reprehendat, caussæ nihil dici potest; nam etiam antea ea loca sibi Athenienses vindicaverant: de *Haliartiorum* vero agro, jure aliquis eis succenseat. Urbem enim omnium ferme Bœoticarum antiquissimam, gravi casu oppressam, non adjuvare modis omnibus, ut in integrum restitueretur, sed contra delere velle ex hominum memoria, præcisa miseris spe etiam omni aliquando se erigendi: hoc vero cum Græcorum nemini, tum autem minus, quam ceteris, conveniat Atheniensibus. Parum enim moribus atque institutis ejus civitatis congruat, communem omnibus patriam urbem suam declarare, et suas aliis patrias ire deletum. Ceterum *Delum et Lemnum* dedit eis senatus. Et Atheniensium quidem res ita se habebant.

(III.) *Legatio XCIX.*

✱

XIX. Eodem etiam tempore *Theætetus*, quum ei senatus esset datus, de societate verba fecit. Sed dum patres moras nectunt, illum interea fatum

Ol. 153. 2. λιον, οὗτος μὲν μετήλλαξε τὸν βίον κατὰ φύσιν, ἔτη
Caunii exules. γὰρ εἶχε πλείω τῶν ὀγδοήκοντα. Παραγενομένων δὲ 3
φυγάδων ἔκ τε Καύνου καὶ Στρατονικείας εἰς τὴν Ῥώμην,
καὶ παρελθόντων εἰς τὴν σύγκλητον· [t]ἐγένετο δόγμα,
Ῥοδίους ἐξάγειν τὰς φρουρὰς ἔκ τε Καύνου καὶ Στρα-
τονικείας. Οἱ δὲ περὶ τὸν Φιλόφρονα καὶ Ἀστυμή- 4
δην, λαβόντες ταύτην τὴν ἀπόκρισιν, ἀπέπλευσαν κατὰ
σπουδὴν εἰς τὴν οἰκείαν· δεδιότες, μὴ παρακούσαντες 5
οἱ Ῥόδιοι περὶ τοῦ τὰς φρουρὰς ἐξαγαγεῖν, αὖθις
ἄλλην ἀρχὴν ἐγκλημάτων ποιήσωσιν.

IV.

RES PELOPONNESI.

* * *

Callicrates proditor Achæor. XX. ΚΑΤΑ τὴν Πελοπόννησον, παραγενομένων τῶν πρεσβευτῶν, καὶ διασαφούντων τὰ κατὰ τὰς ἀποκρίσεις, οὐκ ἔτι θόρυβος ἦν, ἀλλ' ὀργὴ καὶ μῖσος ἐκφανὲς πρὸς τοὺς περὶ τὸν Καλλικράτην.

exosus omnibus. [u]Τοῦ περὶ Καλλικράτην μίσους καὶ Ἀνδρωνίδαν καὶ 2
τοὺς λοιποὺς, ὁμογνώμονας τούτων, οὕτως ἄν τις τεκμή-
ραιτο. Τῆς γὰρ τῶν Ἀντιγονείων πανηγύρεως ἐν τῷ 3
Σικυῶνι συντελουμένης, καὶ τῶν βαλανείων ἁπάντων
ἐχόντων τάς τε κοινὰς [x]μάκτρας καὶ πυέλους ταύταις

[t] ἐγένετο δόγμα, Ῥοδίους ἐξάγειν Casauboni hoc debetur ingenio. ἐγένετο δόγμα Ῥοδίοις ἐξάγειν Ursin. cum MStis. quod teneri poterat, ni fallor, debebatque inserto commate post Ῥοδίοις. [u] Τὸ πρὸς Καλλ. μῖσος aut Τὸ μέγεθος τοῦ πρὸς Καλλ. μίσους voluit Reisk. [x] Mendose vulgo μακρὰς.

occupat: erat enim octogenario major. Deinde advenerunt Romam *Caunii et Stratonicenses* exsules. Qui postquam in senatu essent auditi, factum est *senatusconsultum*, quo jubebantur *Rhodii, præsidia Cauno et Stratonicea educere.* Eo responso accepto, *Philophron et Astymedes* festinanter in patriam sunt profecti: verebantur enim, ne, Rhodii si præsidia educere neglexissent, aliarum denuo calamitatum principium suæ civitati exoriretur.

IV.

Legatio CIII. et Excerpt. Vales.

* * *

XX. IN Peloponneso, postquam reversi sunt legati, et responsa quæ acceperant ediderunt, non jam tumultuari omnes, sed iram atque odium palam concipere adversus *Callicratem.* Quantum fuerit odium omnium adversus *Callicratem* et *Andronidam* reliquosque ejusdem factionis, vel hinc liquido perspici potest. Cum solenne festum, quod *Antigonia* vocant, *Sicyone* celebraretur, atque in omnibus balneis communes mactræ et labra

παρακειμένας, εἰς ἃς οἱ κομψότεροι τῶν ἀνθρώπων A. C. 168.
4 εἰώθασι κατ' ἰδίαν ἐμβαίνειν· [y] εἰς ταύτας ὅτε τις Callicrates
καθείη τῶν περὶ τὸν Ἀνδρωνίδαν καὶ Καλλικράτην,
οὐδεὶς ἐτόλμα τῶν ἐφεστώτων ἔτι [z] καθιέναι, πρὶν ἢ τὸν
βαλανίτην τὸ μὲν ὑπάρχον ὕδωρ ἀφιέναι πᾶν, ἕτερον
5 δὲ καθαρὸν ἐγχέαι. τοῦτο δ' ἐποίουν, ὑπολαμβάνοντες
ὡσανεὶ μιαίνεσθαι καθιέντες εἰς ταυτὸ τοῖς προειρημένοις
6 ὕδωρ. Τοὺς δὲ συριγμοὺς τοὺς ἐν ταῖς κοιναῖς πανηγύρεσι τῶν Ἑλλήνων καὶ τοὺς χλευασμούς, ὅτε τις [a] ἐπιβάλλοιτο κηρύττειν τινὰ τῶν προειρημένων, οὐδ' ἂν
7 ἐξηγήσαιτο ῥᾳδίως οὐδείς. Ἐθάῤῥει δὲ καὶ τὰ παιδάρια κατὰ τὰς ὁδούς, ἐκ τῶν διδασκαλείων ἐπανάγοντα, κατὰ πρόσωπον αὐτοὺς προδότας ἀποκαλεῖν. Τοιαύτη τις ὑπέδραμε προσκοπὴ καὶ μῖσος κατὰ τῶν προειρημένων.

[y] Sic ex conject. correxi, monente ex parte Reiskio. Vulgo εἰ ταύταις ὅστι τις καθίῃ. [z] καθιέναι ex conject. scripsi, pro vulgato κατιέναι, et v. 5. καθιέντες, pro κατιέντες. [a] ἐπιβάλλοιτο correxi cum Reisk. Vulgo ἐπιβάλλοι.

essent, in quæ elegantiores homines seorsim descendere consueverant; si sorte *Andronidas* aut *Callicrates* lavandi causa in solium aliquod descendisset, nemo posthac ex iis, qui supervenerant, eodem descendere prius sustinebat, quam balneator, pristina aqua omni egesta, puram nitidamque de novo infudisset: quippe veluti contaminari se existimabant omnes, si eadem ac illi aqua lavarentur. Quibus vero sibilis ac sannis in publicis Græciæ conventibus fuerint excepti, si quando aliquis quempiam ex illis publice laudare esset ausus, ne dicendo quidem satis exprimi possit. Ipsi pueri, e scholis redeuntes, coram *proditores* eos adpellare per vicos non verebantur. Tanta omnium offensio, tantumque odium, adversus illos homines gliscebat.

ΤΗΣ ΤΡΙΑΚΟΣΤΗΣ ΠΡΩΤΗΣ

ΤΩΝ ΠΟΛΥΒΙΟΥ ΙΣΤΟΡΙΩΝ

ΤΑ ΣΩΖΟΜΕΝΑ.

I.
RES ANNI URBIS DLXXXIX.
(I.) *Legatio* RHODIORUM *Romam*.

* * *

Ol. 153. 3. A. U. 589. Cretensium bellum intestinum.

1. [a] ΕΠΟΛΕΜΗΣΑΝ κατὰ τὸν καιρὸν τοῦτον Κνώσσιοι μετὰ Γορτυνίων πρὸς τοὺς Ῥαυκίους, καὶ συνθήκας ἐποιήσαντο πρὸς ἀλλήλους ἐνόρκους, μὴ πρότερον λύσειν τὸν πόλεμον, πρὶν ἢ κατὰ κράτος ἑλεῖν τὴν Ῥαῦκον.

Rhodii denuo petunt societatem Romanor.

2 Οἱ δὲ Ῥόδιοι, κομισάμενοι τὰ περὶ τῶν Καυνίων, καὶ θεωροῦντες οὐ καταλήγουσαν τὴν ὀργὴν τῶν Ῥωμαίων, ἐπειδὴ περὶ πάντων ἀκολούθως ταῖς ἀποκρίσεσιν ἐπειθάρχησαν, εὐθέως τοὺς περὶ Ἀριστοτέλην πρεσβευτὰς καταστήσαντες, ἐξέπεμπον εἰς τὴν Ῥώμην, δόντες
3 ἐντολάς, πειράζειν πάλιν περὶ τῆς συμμαχίας. Οἱ καὶ παραγενηθέντες εἰς τὴν Ῥώμην θερείας ἀκμαζούσης, εἰσῆλθον εἰς τὴν σύγκλητον, καὶ παραυτίκα περὶ τοῦ

[a] ἐξεπολέμησαν e suo codice in notis citavit Ursinus et sic est in Bav.

I.
(I.) *Legatio* C.

* * *

1. PER id tempus *Cnossii* et *Gortynii* bellum cum *Rhauciis* gerebant, icto fœdere inter ipsos, quod et jurejurando firmaverant, non prius se bellandi finem facturos, quam Rhaucum vi expugnassent. *Rhodii*, cognita senatus voluntate de *Cauniis*, quum viderent nihil remittere Romanorum iram; obsecuti per omnia eorum responsis, *legationem Romam* miserunt, cujus princeps *Aristoteles* erat. His mandatum erat, ut societatis iterum mentionem facerent, in eamque curam incumberent. Ii quum media æstate in urbem venissent, et, dato ipsis senatu, post expositum Rhodiorum obse-

Ol. 153. 3. πεπειθαρχηκέναι τὸν δῆμον τοῖς ἐπιταττομένοις διεσάφουν, καὶ παρεκάλουν ὑπὲρ τῆς συμμαχίας, πολλοὺς

Frustra. καὶ ποικίλους διαθέμενοι λόγους. Ἡ δὲ σύγκλητος 4 ἔδωκεν ἀπόκρισιν, ἐν ᾗ τὴν μὲν φιλίαν παρεσιώπησε, περὶ δὲ τῆς συμμαχίας οὐκ ἔφη καθήκειν αὐτῇ τοῦτο συγχωρεῖν Ῥοδίοις κατὰ τὸ παρόν.

(II.) *Legatio* GALLOGRÆCORUM.

* * *

Libertas conceditur Gallogræcis.

II. Τοῖς παρὰ τῶν ἐκ τῆς Ἀσίας Γαλατῶν πρεσβευταῖς συνεχώρησαν τὴν αὐτονομίαν, μένουσιν ἐν ταῖς ἰδίαις κατοικίαις, καὶ μὴ στρατευομένοις ἐκτὸς τῶν ἰδίων ὅρων.

(III.) *Res* ANTIOCHI EPIPHANIS.

* * *

Pompam magnificam ducit Antiochus.

III. Ὁ Ἀντίοχος, ἀκούσας τοὺς ἐν Μακεδονίᾳ συντετελεσμένους ἀγῶνας ὑπὸ Αἰμιλίου Παύλου, τοῦ Ῥωμαίων στρατηγοῦ, βουλόμενος τῇ [b] μεγαλοεργίᾳ ὑπεράραι τὸν Παῦλον, ἐξέπεμψε πρέσβεις καὶ θεωροὺς εἰς τὰς πόλεις, καταγγελοῦντας [c] τοὺς ἐσομένους ἀγῶνας ὑπ' αὐτοῦ ἐπὶ Δάφνης· ὡς πολλὴν γενέσθαι τῶν Ἑλλήνων σπουδὴν εἰς τὴν ὡς αὐτὸν ἄφιξιν. Ἀρχὴν δ' ἐποιήσατο 2 τῆς πανηγύρεως τὴν πομπείαν, οὕτως ἐπιτελεσθεῖσαν.

[b] Post μεγαλοεργίᾳ vulgo addunt δωρεᾷ. Delevi otiosum vocab. καὶ τῇ δωρεᾷ ex ing. edidit Ursinus. [c] τοὺς ἐσομ. ἀγῶνας. Persuasum habemus non sic scriptum reliquisse Polybium. Fortasse τοὺς συντελεσθησομένους ἀγῶνας.

quium in omnibus quæ imperata fuerant, ad societatem multis variisque rationibus patres essent hortati; senatus ita respondit, ut, nulla mentione amicitiæ facta, *societatem quod adtinet, non decere se in præsentia* diceret, *Rhodiis eam indulgere.*

(II.) *Legatio CII.*

* * *

II. *Legatis*, qui a *Gallogræcis* fuerant missi, permiserunt patres, suis ut legibus uterentur; modo intra proprias habitationes sese continerent, et extra fines armati non prodirent.

(III.) *Polyb. apud Athenæum Lib.* V. *cap.* 5. *et* X. *c.* 10.

* * *

III. ANTIOCHUS, quum rescivisset de *ludis*, ab *Æmilio Paulo* Romanorum imperatore celebratis in Macedonia, volens magnificentia superare Paulum, ad civitates misit oratores sacrosque legatos, qui nunciarent ludos, quos *ad Daphnen* esset exhibiturus: quo factum est, ut ingenti studio Græci ad eum convenirent. Totius celebritatis initium fecit a *pompa*, quæ tali modo ducta est. Præibant hominum

3 Καθηγοῦντό τινες, Ῥωμαϊκὸν ἔχοντες καθοπλισμὸν ἐν A. C. 169.
θώραξιν ἁλυσιδωτοῖς, ἄνδρες ἀκμάζοντες ταῖς ἡλικίαις Pompam ducit An-
πεντακισχίλιοι. μεθ' οὓς Μυσοὶ πεντακισχίλιοι συν- tiochus.
4 εχεῖς ἦσαν· Κίλικες δ' εἰς τὸν τῶν εὐζώνων τρόπον
καθωπλισμένοι τρισχίλιοι, χρυσοῦς ἔχοντες στεφάνους.
5 ἐπὶ δὲ τούτοις Θρᾷκες τρισχίλιοι, καὶ Γαλάται [b] πεν-
τακισχίλιοι, ἄλλοι δ' ἀργυράσπιδες, οἷς ἐπηκολούθει
μονομάχων ζεύγη διακόσια τεσσαράκοντα. Τούτων
6 κατόπιν ἦσαν ἱππεῖς [c] Νισαῖοι μὲν χίλιοι, πολιτικοὶ δὲ
τρισχίλιοι, ὧν οἱ μὲν πλείους ἦσαν χρυσοφάλαροι καὶ
7 χρυσοστέφανοι, οἱ δ' ἄλλοι ἀργυροφάλαροι. Μετὰ
δὲ τούτους ἦσαν οἱ λεγόμενοι ἑταῖροι ἱππεῖς· οὗτοι δὲ
ἦσαν εἰς χιλίους, πάντες χρυσοφάλαροι. τούτοις συν-
εχὲς ἦν τὸ τῶν φίλων σύνταγμα, ἴσον καὶ κατὰ τὸ
8 πλῆθος καὶ κατὰ τὸν κόσμον. Ἐπὶ δὲ τούτοις ἐπίλεκτοι
χίλιοι· οἷς ἐπηκολούθει τὸ καλούμενον Ἄγημα, κρά-
τιστον εἶναι δοκοῦν σύστημα τῶν ἱππέων, περὶ χιλίους.
9 Τελευταία δ' ἦν ἡ κατάφρακτος ἵππος, οἰκείως τῇ
προσηγορίᾳ τῶν ἵππων καὶ τῶν ἀνδρῶν ἐσκεπασμένων
τοῖς ὅπλοις. ἦσαν δὲ καὶ αὐτοὶ χίλιοι καὶ πεντακόσιοι.
10 Πάντες δ' οἱ προειρημένοι εἶχον πορφυρᾶς ἐφαπτίδας,
11 πολλοὶ δὲ καὶ διαχρύσους καὶ ζωωτάς. Ἕξιππα μὲν
ἦν ἑκατὸν, τέθριππα δὲ [d] τεσσαράκοντα. ἔπειτα ἐλεφάν-
των ἅρμα καὶ συνωρίς. καθ' ἕνα δὲ εἵποντο ἐλέφαντες

[b] Post πεντακισχίλιοι excidisse suspicatus est Reiskius verba οἱ μὲν χρυσάσπιδες. [c] Νισαῖοι correxi, monente Casaub. Mendose vulgo Πισαῖοι. [d] τετρακόσια suspicari licet cum Reiskio.

ætate florentium millia quinque, Romanorum instar armatorum, cum hamatis loricis. Sequebantur continenter Mysi totidem: ab his Cilicum tria millia, in modum levis armaturæ instructorum, aureas coronas gestantium. Post hos Thracum tria, et Galatarum quinque millia, aliique cum argenteis scutis; quos sequebantur gladiatorum paria ducenta et quadraginta. Horum a tergo fuerunt equites *Nisæi* mille, urbani vero ter mille, quorum plerique cum aureis phaleris et coronis, alii cum argenteis. His succedebant equites, qui *amici* et *sodales* vocantur, circiter mille, aureis phaleris omnes ornati. Quibus proxima fuit *amicorum legio*, numero illis par et ornatu. Post hos delecti mille progressi sunt; quos secutum est *Agema* quod vocatur, quod validissimum habetur equitum corpus: et hi mille erant numero. Postremi fuere cataphracti equites, ab armis nomen habentes, quibus et viri et equi tecti sunt, quingenti supra mille. Erant autem omnibus istis, quos modo recensuimus, paludamenta purpurea, quibusdam auro distincta, aut animantium imaginibus picturata. Currus sejuges centum erant, quadrigæ vero quadraginta; tum *currus elephantis*

Ol. 153. 3. Pompam ducit Antiochus.

[e]διεσκευασμένοι τριάκοντα καὶ ἕξ. Τὴν δ' ἄλλην πομπὴν λέγειν ἐστὶ δυσέφικτον, ὡς ἐν κεφαλαίῳ δὲ λεκτέον. 12
Ἔφηβοι μὲν γὰρ ἐπόμπευσαν εἰς ὀκτακοσίους, χρυσοῦς ἔχοντες στεφάνους· βόες δ' εὔτραφεῖς περὶ χιλίους· [f]θεωρίαι δὲ βραχὺ λείπουσαι τριακοσίων· ἐλεφάντων δ' ὀδόντες ὀκτακόσιοι. Τὸ δὲ τῶν ἀγαλμάτων πλῆθος 13
οὐ δυνατὸν ἐξηγήσασθαι. πάντων γὰρ τῶν παρ' ἀνθρώποις λεγομένων ἢ νομιζομένων θεῶν ἢ δαιμόνων, προσέτι δὲ ἡρώων, εἴδωλα διήγετο, τὰ μὲν κεχρυσωμένα, τὰ δ' ἠμφιεσμένα στολαῖς διαχρύσοις· καὶ πᾶσι τούτοις οἱ 14
προσήκοντες μῦθοι κατὰ τὰς παραδεδομένας ἱστορίας ἐν διασκευαῖς πολυτελέσι παρέκειντο. Εἵπετο δ' αὐτοῖς 15
καὶ Νυκτὸς εἴδωλον καὶ Ἡμέρας, Γῆς τε, καὶ Οὐρανοῦ, καὶ Ἠοῦς, καὶ Μεσημβρίας. Τὸ δὲ τῶν χρυσω- 16
μάτων καὶ ἀργυρωμάτων πλῆθος οὕτως ἄν τις ὑπονοήσειεν, ὅσον ἦν· ἑνὸς γὰρ τῶν φίλων, Διονυσίου τοῦ [g]ἐπιστολογράφου, χίλιοι παῖδες ἐπόμπευσαν, ἀργυρώματα ἔχοντες, ὧν οὐδὲν [h]ἔλαττον ὁλκὴν εἶχε δραχμῶν χιλίων. Βασιλικοὶ δὲ παῖδες παρῆλθον ἑξακόσιοι, χρυ- 17
σώματα ἔχοντες. ἔπειτα γυναῖκες ἐκ χρυσῶν καλπίδων μύροις ἔῤῥαινον, εἰς διακοσίας. Ταύταις δ' ἑξῆς ἐπόμ- 18

[e] διεσκευασμένοι ex conject. scripsi. Vulgo διεσκεδασμένοι. [f] *Mensas sacras* intellexit Casaub. et Spanh. quæ Græce dicuntur θυωροί. [g] ἐπιστολιογράφου edidit Ursin. [h] Apud Athenæum editur ἐλάττον penacute. Videturque ἐλάττονα utique scribendum.

quatuor junctis sequebantur, et bigæ duobus elephantis. Singuli deinde elephanti instructi triginta sex. Reliquum vero pompæ adparatum oratione persequi difficile fuerit: summatim tamen nonnihil dicendum. Adolescentes puberes circiter octingenti progressi, aureis coronis ornati: boves opimi ad mille: legationes ad celebranda solennia a civitatibus missæ, paulo minus trecentæ: elephantorum dentes octingenti. Imaginum vero numerum referre nemo queat. Omnium enim quotquot apud homines vel creduntur vel dicuntur esse dii aut dæmones, tum heroum omnium, simulacra gestabantur, alia inaurata, alia stolis auro distinctis induta. Atqui cunctis his, cum sumtuoso adparatu, adjecta erant symbola, quæ secundum fabulas quæ de unoquoque tradi solent, cuique conveniunt. Sequebantur etiam *imagines Noctis*, et *Diei*, et *Terræ*, *Cœli*, *Auroræ*, *Meridiei*. Aureæ vero argenteæve supellectilis vim ac multitudinem, quanta fuerit, sic quispiam animo conceperit. Dionysii, unius ex regis amicis, qui erat ei ab epistolis, pueri mille in eo pompæ ductu incedebant, argentea vasa gestantes, quorum nullum minus pendebat mille drachmis. Regis autem sexcenti pueri illos consequebantur, aurea gestantes vasa. Deinde mulieres circiter trecentæ ex aureis urnis unguentum adspergentes. His proximæ fuerunt fœminæ magnifice exornatæ, octoginta, insidentes lecti-

πευον, ἐν χρυσόποσι μὲν φορείοις, ὀγδοήκοντα γυναῖκες· ἀργυρόποσι δὲ, πεντακόσιαι, καθήμεναι, πολυτελῶς A. U. 589.
19 διεσκευασμέναι. Καὶ τῆς μὲν πομπῆς τὰ ἐπιφανέστατα ταῦτα ἦν.

IV. [i] Ἐπιτελεσθέντων δὲ τῶν ἀγώνων καὶ μονομαχιῶν καὶ κυνηγεσίων, κατὰ τριάκονθ' ἡμέρας, ἐν αἷς τὰς θέας συνετέλει, πέντε μὲν τὰς πρώτας ἐν τῷ γυμνασίῳ πάντες ἐκ χρυσῶν [k] ὁλκίων ἠλείφοντο κροκίνῳ μύρῳ. Ludos celebrat Antiochus.
2 ἦν δὲ ταῦτα πεντεκαίδεκα, καὶ κινναμωμίνου τὰ ἴσα, καὶ ναρδίνου. παραπλησίως δὲ καὶ ταῖς ἑξῆς εἰσεφέρετο τήλινον, ἀμαράκινον, [l] ἰρινὸν, πάντα διαφέροντα ταῖς εὐω-
3 δίαις. Ἔστρωτο δὲ εἰς εὐωχίαν ποτὲ μὲν χίλια τρίκλινα, ποτὲ δὲ χίλια πεντακόσια, μετὰ τῆς πολυτε-
4 λεστάτης διασκευῆς. Ὁ δὲ χειρισμὸς ἐγίγνετο τῶν πραγμάτων δι' αὐτοῦ τοῦ βασιλέως. ἵππον γὰρ ἔχων εὐτελῆ, παρέτρεχε παρὰ τὴν πομπὴν, τοὺς μὲν προάγειν
5 κελεύων, τοὺς δ' ἐπέχειν. Κατὰ δὲ τοὺς πότους αὐτὸς ἐπὶ τὰς εἰσόδους ἐφιστάμενος, οὓς μὲν εἰσῆγεν, οὓς δ' ἀνέκλινε· καὶ τοὺς διακόνους τοὺς τὰς παραθέσεις φέ-
6 ροντας αὐτὸς εἰσήγαγεν. καὶ περιπορευόμενος, οὗ μὲν προσεκάθιζεν, οὗ δὲ προσανέπιπτε· καὶ ποτὲ μὲν ἀπο-

[i] Cum his, quæ lib. V. habet Athenæus, conserenda sunt, quæ idem refert lib. X. his verbis: Ἐν τῇ τριακοστῇ πρώτῃ Πολύβιός φησι, συντελοῦντα αὐτὸν (τὸν Ἀντίοχον) ἀγῶνας, συγκαλέσαι πάντας Ἕλληνας καὶ τῶν βουλομένων τοὺς πολλοὺς ἐπὶ τὴν θέαν. καὶ πλείστων παραγινομένων ἐν τοῖς γυμνασίοις, πάντας ἐκ χρυσῶν ὁλκίων ἤλειφε κροκίνῳ μύρῳ, καὶ κινναμωμίνῳ, καὶ ναρδίνῳ, καὶ ἀμαρακίνῳ καὶ κρινίνῳ. Nonnihil, quod vel sic deesse ad sententiam videbatur, in *vers. Lat.* supplevi. [k] ὁλκείων ex ing. edidit Ursin. [l] ἰρινὸν correxi. εἰρινὸν editum est apud Athenæum.

cis, quarum pedes auro, et quingentæ lecticis, quarum pedes argento fulgebant. Et in pompa quidem hæc maxime erant illustria.

IV. Deinde vero quum peragerentur ludi, et gladiatoria certamina, et venationes; per triginta dies, quibus edebat ista spectacula, quinque prioribus diebus, quicumque in gymnasium venissent, ex aureis vasis ungebantur crocino oleo, [quinque sequentibus] cinnamomino, dein nardino, tum telino, [ex fœnogræco, tum amaracino, denique liliaceo; quorum unumquodque odoris suavitate præstabat: aderant autem uniuscujusque generis [quotidie] quindecim vasa. Ad epulas sternebantur aliâs mille triclinia, aliâs quingenta supra mille, cum adparatu sumtuosissimo. Totum autem negotium per ipsum regem administrabatur; qui, vili vectus equo, et pompam intercursans, alios jubebat progredi, alios sistere gradum. In conviviis, stans in aditibus cœnaculorum, alios introducebat, aliis loca in lectulis adsignabat: ministrorumque, qui fercula portabant, dux ipse erat. Tum mensas circumambulans, nunc adsidebat, nunc adcumbebat: nonnumquam

Ol. 153. 3.
Ludos celebrat Antiochus.

θέμενος μεταξὺ τὸν ψωμὸν, ποτὲ δὲ τὸ ποτήριον, ἀνε-
πήδα, καὶ μετανίστατο, καὶ περιήει τὸν πότον, προ-
πόσεις λαμβάνων ὀρθὸς, ἄλλοτε παρ' ἄλλοις, ἅμα δὲ
καὶ τοῖς ἀκροάμασι προσπαίζων. Προϊούσης δ' ἐπὶ 7
πολὺ τῆς συνουσίας, καὶ πολλῶν ἤδη κεχωρισμένων, ὑπὸ
τῶν μίμων ὁ βασιλεὺς εἰσεφέρετο ὅλος κεκαλυμμένος,
καὶ εἰς τὴν γῆν ἐτίθετο, ὡς εἷς ὢν δῆτα τῶν μίμων. καὶ 8
τῆς συμφωνίας προκαλουμένης. ἀναπηδήσας ὠρχεῖτο,
καὶ ὑπεκρίνετο μετὰ τῶν γελωτοποιῶν, ὥστε πάντας
αἰσχυνομένους φεύγειν. Ταῦτα δὲ πάντα συνετελέσθη, 9
ἐξ ὧν τὰ μὲν ἐκ τῆς Αἰγύπτου ἐνοσφίσατο, παρασπον-
δήσας τὸν Φιλομήτορα βασιλέα, παιδίσκον ὄντα· τὰ 10
δὲ καὶ τῶν φίλων συμβαλλομένων. ἱεροσυλήκει δὲ καὶ
τὰ πλεῖστα τῶν ἱερῶν.

*

Tib. Gracchum legatum excipit.

V. Μετὰ τὴν συντέλειαν τῶν ἀγώνων, ἄρτι τούτων
γεγονότων, ἧκον οἱ περὶ τὸν Τιβέριον πρεσβευταὶ, κατα-
σκόπων ἔχοντες τάξιν. Οἷς οὕτως ἐπιδεξίως ἀπήντησεν 2
Ἀντίοχος καὶ φιλοφρόνως, ὥστε μὴ οἷον τοὺς περὶ τὸν
Τιβέριον ὑποπτεῦσαί τι περὶ αὐτοῦ πραγματικὸν, ἢ
παρατριβῆς ἔμφασιν ἔχον ἐκ τῶν κατὰ τὴν Ἀλεξάν-
δρειαν, ἀλλὰ καὶ τῶν λεγόντων τι τοιοῦτον καταγι-
νώσκειν, διὰ τὴν ὑπερβολὴν τῆς κατὰ τὴν ἀπάντησιν
φιλανθρωπίας· ὅς γε, πρὸς τοῖς ἄλλοις, καὶ τῆς αὐλῆς 3

rursus inter edendum bibendumve, posita subito bucca vel poculo prosiliens alio se conferebat, circumibatque compotantium mensas, et propinationes ab aliis atque hic ibi adstans accipiebat, simulque interim cum eis, qui festivum quidpiam recitabant, jocabatur. Tum, ubi productum jam in longum esset convivium, multique jam excessissent, regem histriones mimi, totum vestibus occultum, producebant, et humi ponebant, velut unum quemdam ex suis consortibus. Is autem, musicorum concentu provocatus, prosiliebat saltabatque, histrionem agens cum ridiculis scurris, adeo ut præ pudore omnes diffugerent. Celebrata autem atque perfecta sunt ista omnia partim ex eis opibus, quas Antiochus, violato fœdere pueri regis Philometoris, ex Ægypto abstraxerat; partim ex eis, quas contulerunt amici; maximam vero partem, ex spoliis templorum, quæ compilaverat.

*

(*Legatio CI.*)

V. Mox a confectis istis ludis, *legatus ad Antiochum* venit *Tiberius* (*Gracchus,*) ad explorandum rerum statum Roma missus. Quem ea dexteritate rex excepit, ut non solum, moliri eum res novas, nihil suspicaretur *Gracchus*, aut ullum signum animadverteret animi, propter illa, quæ Alexandriæ acciderant, subalienati; sed etiam omnibus illis sese opponeret, qui ejusmodi aliquid in *Antiochum* dicerent. Tantam humanitatem in eo congressu *Graccho* rex exhibuerat: qui, ut ce-

παρεχώρησε τοῖς πρεσβευταῖς, μικροῦ δὲ καὶ τοῦ διαδή- A. U. 589.
4 ματος, κατὰ τὴν ἐπίφασιν· καίπερ οὐκ ὢν τῇ προαιρέσει τοιοῦτος, ἀλλὰ τοὐναντίον ἀλλοτριώτατα διακείμενος πρὸς Ῥωμαίους.

II.

RES GESTÆ ANNO DXC.

(I.) *Legationes* PRUSIÆ, RHODIORUM, ACHÆORUM.

* * *

Ol. 153. 4. A. U. 590. Legatio Rhodiorum et Achæorum.

VI. ΕΙΣ τὴν Ῥώμην παραγεγονότων πρεσβευτῶν πλειόνων καὶ ἑτέρων, ἐπιφανεστάτων δὲ, παρὰ μὲν Ῥοδίων τῶν περὶ Ἀστυμήδην, παρὰ δὲ τῶν Ἀχαιῶν τῶν περὶ Εὐρέαν καὶ Ἀναξίδαμον καὶ Σάτυρον, παρὰ δὲ Προυσίου τῶν
2 περὶ Πύθωνα· τούτοις ἐχρημάτισεν ἡ σύγκλητος. Οἱ μὲν οὖν παρὰ τοῦ Προυσίου κατηγορίαν ἐποιοῦντο Εὐμένους τοῦ βασιλέως· φάσκοντες, [m]αὐτῶν τε τινὰ χωρία παραιρεῖσθαι τὸν Εὐμένη, καὶ τῆς Γαλατίας οὐκ ἀφίστασθαι τὸ παράπαν, οὐδὲ πειθαρχεῖν τοῖς τῆς συγκλή-
3 του δόγμασιν· ἀλλὰ τοὺς τὰ σφέτερα μὲν φρονοῦντας σωματοποιεῖν, τοὺς δὲ τὰ Ῥωμαίων αἱρουμένους, καὶ βουλομένους πολιτεύεσθαι τοῖς τῆς συγκλήτου δόγμασιν
4 ἀκολούθως, κατὰ πάντα τρόπον ἐλαττοῦν. Ἦσαν δέ τινες πρεσβευταὶ καὶ παρὰ τῶν τῆς Ἀσίας πόλεων, οἳ κατηγόρουν τοῦ βασιλέως, ἔμφασιν ποιοῦντες τῆς πρὸς

Prusiæ legatio adv. Eumenem.

[m] αὐτῶν τε revocavi ex MStis. Vulgo αὐτοῦ τε ex Ursini ing.

tera taceam, aula etiam concessit legatis, et ipso quoque, prope dixerim, diademate, in speciem quidem. Quamquam non ad Romanos voluntas ejus inclinabat, sed ab eis potius erat alienissimus.

II.

(I.) *Legatio CIV.*

* * *

VI. VENERANT Romam *legationes* complures, inter quas eminebant hæ: *ab Rhodiis* Astymedes; *ab Achæis* Eureas, Anaxidamus et Satyrus; *a Prusia* Pytho: atque his omnibus senatus est datus. *Legatus* PRUSIÆ accusabat regem *Eumenem; quædam loca ab eo sibi ademta* conquerens, *et quod a Galatia nullo modo abstineret, nec senatus decretis morem gereret; sed eos quidem, qui ipsius partes sequerentur, aleret omnibusque rebus ornaret; eos vero, qui Romanarum partium essent, et ex senatus decretis administrari rempublicam cuperent, quovis modo adterere conaretur.* Aderant et e *civitatibus Asiaticis* nonnulli, qui regem accusabant, et initam ab eo societatem cum Antiocho

Ol. 153 4. τὸν Ἀντίοχον κοινοπραγίας. Ἡ δὲ σύγκλητος διακούσασα τῶν κατηγορούντων, οὔτ' ἀπέρριπτε τὰς διαβολὰς, οὔτ' ἐξέφαινε τὴν ἑαυτῆς γνώμην, ἀλλὰ συνετήρει παρ' ἑαυτῇ, διαπιστοῦσα καθόλου τοῖς περὶ τὸν Εὐμένη καὶ 5
Gallogræcis favent Romani. τὸν Ἀντίοχον· τοῖς γε μὴν Γαλάταις ἀεί τι προσετίθει 6
καὶ συνεπίσχυε περὶ τῆς ἐλευθερίας. [n]Οἱ δὲ περὶ τὸν 7
Τιβέριον, ἥκοντες ἀπὸ τῆς πρεσβείας, οὐδὲν περιττότερον ἠδυνήθησαν οὔτ' αὐτοὶ διαλαβεῖν, οὔτε τῇ συγκλήτῳ διασαφῆσαι περὶ τῶν κατὰ τὸν Εὐμένη καὶ τὸν Ἀντίοχον, ἤπερ ἂν καὶ πρότερον ὄντες ἐν τῇ Ῥώμῃ διελάμβανον. οὕτως αὐτοὺς οἱ βασιλεῖς [o]ἐξετέμοντο τῇ κατὰ 8
τὴν ἀπάντησιν φιλανθρωπίᾳ.

Deprecantur RHODII. VII. Μετὰ δὲ ταῦτα προσκαλεσαμένη τοὺς Ῥοδίους, διήκουε τούτων. Ὁ δ' Ἀστυμήδης εἰσελθὼν, μετρίως 2
[p]ἔστη καὶ βέλτιον ἢ κατὰ τὴν πρὸ ταύτης πρεσβείαν. Ἀφέμενος γὰρ τοῦ κατηγορεῖν τῶν ἄλλων, ὥρμησεν ἐπὶ 3
τὸ παραιτεῖσθαι, καθάπερ οἱ μαστιγούμενοι τὰς πληγάς· φάσκων, ἱκανοῖς προστίμοις περιπεπτωκέναι τὴν πατρίδα, καὶ μείζοσι τῆς ἁμαρτίας. Καὶ προσθέ- 4
μενος ἐξηγεῖτο τὰς ἐλαττώσεις, κεφαλαιωδῶς δεξιὼν, πρῶτον μὲν ὅτι Λυκίαν καὶ Καρίαν ἀπολωλέκασιν, [q]εἰς ἣν ἐξ ἀρχῆς μὲν ἐδαπάνησαν χρημάτων ἱκανὸν πλῆθος, τρισσοὺς πολέμους ἀναγκασθέντες [r]πολεμεῖν αὐτοῖς, νυνὶ

[n] Οἱ δὲ περὶ τὸν Τιβ. &c. Hæc de *Tib. Graccho*, quæ incommode vulgo infra in Leg. 105. cap. 8. inter v. 10 et 11 inseruntur, h. l. reponenda duxi.
[o] ἐξετίμοντο nescio an ingenio debeatur Ursini. ἐξετέκοντο est in Bav. An ἐξετρέποντο? [p] ἔφη ex Ursini conject. receperat Casaub. [q] εἰς ἃς malim.
[r] αὐτοῖς ad Romanos refert Reisk. *Romanorum in gratiam*. Sic dicendum fuerat συμπολεμεῖν αὐτοῖς.

significabant. His auditis, senatus neque criminationes respuit, neque mentem aperuit suam, sed clam apud se habuit, Eumeni atque Antiocho omnino diffidens. At Gallis tamen interim aliquid semper adjiciebat, et in libertate vindicanda adjuvabat. Neque vero *Tiberius* (*Gracchus*,) ex Asiatica legatione reversus, certius quidquam *de Eumenis et Antiochi consiliis*, neque ipse statuere, neque senatui renunciare potuit, quam quæ jam ante, quum Roma proficisceretur, statuerat. Adeo comitate sua reges in mutuis congressibus ipsum fefellerunt.

VII. Introducti deinde sunt in curiam RHODII, auditique. Fuit tum *Astymedis* moderata oratio, ac probatior quam priore legatione. Omissa enim criminatione aliorum, id unum egit, ut ad instar eorum, qui flagellantur, majus supplicium deprecaretur; *satis pœnarum dedisse patriam* dicens, *et longe supra delictum*. Addebat deinde breviter particularem detrimentorum enumerationem. *Primum*, *Lyciam Cariamque Rhodios amisisse, quæ inde ab initio magnis ipsis constitissent impensis, quod tria bella adversus ipsos sustinere fuissent coacti: nunc vero rediti-*

δὲ προσόδων ἐστέρηνται πολλῶν, ὧν ἐλάμβανον παρὰ τῶν A. U. 590.
5 προειρημένων. Ἀλλ' ἴσως, ἔφη, ταῦτα μὲν ἔχει λόγον. Deprecantur Rhodii.
καὶ γὰρ ἐδώκαθ' ὑμεῖς αὐτὰ τῷ δήμῳ, μετὰ χάριτος
τὴν εὔνοιαν [s]* καὶ χαρίζοντες αὐτὰ, κατὰ λόγον ἐδο-
κεῖτε τοῦτο πράττειν, ἐμπεσούσης τινὸς ὑποψίας καὶ
6 διαφορᾶς ὑμῖν. Ἀλλὰ Καῦνον δήπου διακοσίων τα-
λάντων ἐξηγοράσαμεν παρὰ τῶν Πτολεμαίου στρα-
τηγῶν, καὶ Στρατονίκειαν ἐλάβομεν ἐν μεγάλῃ χάριτι
7 παρ' Ἀντιόχου καὶ Σελεύκου· καὶ παρὰ τούτων τῶν
πόλεων ἀμφοτέρων ἑκατὸν καὶ εἴκοσι τάλαντα τῷ δήμῳ
8 πρόσοδος ἔπιπτε καθ' ἕκαστον ἔτος. Τούτων ἁπασῶν
ἐστερήμεθα τῶν προσόδων, θέλοντες πειθαρχεῖν τοῖς
9 ὑμετέροις προστάγμασιν. Ἐξ ὧν μείζονα φόρον ἐπι-
τεθείκατε τοῖς Ῥοδίοις τῆς ἀγνοίας, ἢ Μακεδόσι τοῖς
10 διὰ παντὸς πολεμίοις ὑμῖν ὑπάρξασι. Τὸ δὲ μέγιστον
σύμπτωμα τῆς πόλεως· καταλέλυται γὰρ ἡ τοῦ λιμέ-
νος πρόσοδος, ὑμῶν Δῆλον μὲν ἀτελῆ πεποιηκότων, ἀφῃ-
ρημένων δὲ τὴν τοῦ δήμου παῤῥησίαν, δι' ἧς καὶ τὰ
κατὰ τὸν λιμένα καὶ τἄλλα πάντα τῆς πόλεως ἐτύγ-
11 χανε τῆς ἁρμοζούσης προστασίας. Ὅτι δὲ τοῦτ' ἔστιν
12 ἀληθὲς, οὐ δυσχερὲς καταμαθεῖν. Τοῦ γὰρ ἐλλιμενίου
κατὰ τοὺς ἀνώτερον χρόνους εὑρίσκοντος ἑκατὸν μυρι-
άδας δραχμῶν, νῦν [t] εὕρῃ κατὰ πεντεκαίδεκα μυριάδας·
ὥστε καὶ λίαν, ὦ ἄνδρες Ῥωμαῖοι, τὴν ὑμετέραν ὀργὴν

[s] * Suspicari licet cum Reiskio: τὴν εὔνοιαν (sc. ὑμῶν) ἐμφανίζοντες· καὶ πάλιν ἀφαιρούμενοι αὐτὰ, κατὰ λόγον &c. Nisi malis μετὰ χάριτος καὶ εὐνοίας· καὶ ἀφανίζοντες αὐτά. [t] εὕρῃ κατὰ ex Reiskii conject. scripsi. Vulgo εὑρήκατι.

bus multis esse privatos, quos ex illis populis percepissent. Sed hæc, ait, *fortasse aliquam rationem habent: ipsi enim populo nostro beneficii loco dederatis; qui nunc cum beneficium vestrum revocastis, suspicione quadam et controversia interveniente, visi vobis estis jure vestro uti. At enim Caunum a Ptolemæi ducibus talentis ducentis redemimus, iidemque Stratoniceam pro magno beneficio ab Antiocho et Seleuco accepimus; quarum urbium utraque centum viginti talenta quotannis civitati nostræ pendebat. His omnibus reditibus privati sumus, dum jussis vestris morem volumus gerere. Itaque Rhodii propter delictum, ex imprudentia profectum, gravius a vobis sunt multati, quam Macedones, perpetui hostes vestri. Præcipua vero Rhodiorum calamitas illa est, quod portus vectigal amisit, quum et Delum jusseritis esse immunem, et populo libertatem ademeritis statuendi, sicut ante faciebat, cum de eis quæ ad portum adtinent, tum de ceteris publicis rebus. Id ita esse, nullo negotio potest intelligi. Portorium enim, quod superioribus temporibus decies centena drachmarum millia conficiebat, nunc ad centum quinquaginta millia vix pervenit. Adeo in potissima quæque urbis nostræ loca ira vestra, Patres conscri-*

Ol. 153. 4.
Deprecantur Rhodii.

ἧφθαι τῶν κυρίων τόπων τῆς πόλεως. [u] Εἰ μὲν οὖν 13
συμβεβήκει πάνδημον γεγονέναι τὴν ἁμαρτίαν καὶ τὴν
ἀλλοτριότητα τοῦ δήμου, τάχα ἴσως ἐδοκεῖτε καὶ ὑμεῖς
εὐλόγως ἐπίμονον καὶ δυσπαραίτητον ἔχειν τὴν ὀργήν.
εἰ δὲ σαφῶς ἴστε, παντάπασιν ὀλίγους γεγονότας αἰτί- 14
ους τῆς τοιαύτης ἀλογίας, καὶ τούτους ἅπαντας ἀπολω-
λότας ὑπ' αὐτοῦ τοῦ δήμου· τί πρὸς τοὺς μηδὲν αἰτίους 15
ἀκαταλλάκτως ἔχετε; καὶ ταῦτα, πρὸς τοὺς ἄλλους
ἅπαντας εἶναι δοκοῦντες πρᾳότατοι καὶ μεγαλοψυχό-
τατοι. Διόπερ, [x] ὦ ἄνδρες, ἀπολωλεκὼς ὁ δῆμος τὰς 16
προσόδους, τὴν παῤῥησίαν, τὴν ἰσολογίαν, ὑπὲρ ὧν τὸν
πρὸ τοῦ χρόνον πᾶν ἀναδεχόμενος διατετέλεκεν· ἀξιοῖ 17
καὶ δεῖται πάντων ὑμῶν, ἱκανὰς ἔχων πληγὰς, λήξαν-
τας τῆς ὀργῆς διαλυθῆναι, καὶ συνθέσθαι τὴν συμμα-
χίαν, ἵνα γένηται τοῦτο ἐμφανὲς ἅπασιν, ὅτι τὴν μὲν
ὀργὴν [y] ἀποτέθεισθε τὴν πρὸς Ῥοδίους, ἀνακεχωρήκατε
δ' ἐπὶ τὴν ἐξ ἀρχῆς αἵρεσιν καὶ φιλίαν. τούτου γὰρ 18
χρείαν ἔχει νῦν ὁ δῆμος, οὐ τῆς διὰ τῶν ὅπλων καὶ
στρατιωτῶν συμμαχίας. Ταῦτα μὲν οὖν καὶ τούτοις
παραπλήσια διαλεχθεὶς Ἀστυμήδης, ἐδόκει πρεπόντως
τοῖς καιροῖς πεποιῆσθαι τοὺς λόγους. Πλεῖστά γε μὴν 19
συνήργησαν τοῖς Ῥοδίοις πρὸς τὸ τυχεῖν τῆς συμμαχίας
οἱ περὶ τὸν Τιβέριον, ἄρτι παραγεγονότες. οὗτοι γὰρ, 20

Societas jungitur cum Rhodiis.

[u] Mendose MSti εἰ μὴ. εἰ μὲν correxit Ursin. οὖν ex conject. adjeci. [x] Ῥωμαῖοι vulgo adjicitur ex Ursini ing. [y] ἀποτίθεισθαι Bav. ex ἀποτίθεισθε corruptum.

pti, maxime incumbit. Quod si igitur publico consilio peccatum a Rhodiis adversus vos esset, alienatusque a vobis populus esset; fortasse et vobis justa foret caussa, cur in suscepta ire inexorabiles permaneretis. Nunc quum liquido vobis constet, paucorum culpa id delictum esse admissum, eosque omnes a populo suppliciis esse adfectos; quid est, cur placari erga eos, qui nihil deliquerunt, nolitis? vos, qui benignitate et magnanimitate, quam aliis omnibus præstitistis, ceteros universos populos longe antecellitis. Omnibus igitur vectigalibus suis nudatus populus, libertate etiam et juris æquitate amissa; quas res ut retineret, nullum ad hanc usque diem laborem, nullam ærumnam recusavit; postulat nunc a vobis, Romani, petitque, ut post pœnas exactas, pro delicto satis grandes, posita ira redire in gratiam, societatemque secum velitis inire; quo omnes intelligant, vos non amplius populo Rhodio iratos, ad pristinam mentem et benevolentiam rediisse, qua olim eum complectebamini. Hoc enim est, quo nunc patriæ nostræ est opus; non autem belli et armorum ulla societate. Hæc similiaque his quum dixisset *Astymedes*, visa omnibus illius oratio præsenti Rhodiorum statui convenire. Plurimum tamen Rhodios ad impetrandam societatem *Tiberius* adjuvit, nuper ex Asiatica legatione re-

ἀπομαρτυρήσαντες, πρῶτον μὲν, πᾶσι τοῖς τῆς συγ- A. U. 590.
κλήτου δόγμασι πεπειθαρχηκέναι τοὺς Ῥοδίους, ἔπειτα
πάντας τοὺς αἰτίους τῆς ἀλλοτριότητος κατακεκρίσθαι
θανάτου παρ' αὐτοῖς, ἥττησαν τοὺς ἀντιλέγοντας, καὶ
ἐποιήσαντο τὴν πρὸς Ῥωμαίους συμμαχίαν.

*

VIII. Μετά τινα χρόνον εἰσῆλθον οἱ παρὰ τῶν Achæi deprecantur pro exsulibus Romam evocatis.
Ἀχαιῶν πρέσβεις, ἔχοντες ἐντολὰς ἀκολούθως ταῖς
2 ἀποκρίσεσιν, αἷς πρότερον ἔλαβον. αὗται δ' ἦσαν, διότι
θαυμάζουσι, πῶς, ὑπὲρ ὧν αὐτοὶ κεκρίκασι, περὶ τούτων
3 αὐτοὺς παρακαλοῦσι κρίνειν. Διὸ τότε παρῆσαν οἱ
περὶ τὸν Εὐρέαν, πάλιν ἐξ ἀρχῆς ἐμφανίζοντες, διότι
τὸ μὲν ἔθνος οὔτε δικαιολογουμένων ἀκήκοε τῶν κατῃ-
τιωμένων, οὔτε κρίσιν οὐδεμίαν πεποίηται περὶ αὐτῶν·
4 τὴν δὲ σύγκλητον ἀξιοῖ, πρόνοιαν ποιήσασθαι τῶν ἀν-
θρώπων, ἵνα κρίσεως τύχωσι, καὶ μὴ καταφθαρῶσιν
5 ἄκριτοι· καὶ μάλιστα μὲν αὐτὴν ἐξετάσασαν διασα-
φῆσαι τοὺς ἐνόχους ὄντας τοῖς ἐγκλήμασιν· εἰ δὲ διὰ
τοὺς περισπασμοὺς αὐτὴ μὴ δύναται τοῦτο ποιῆσαι, τοῖς
Ἀχαιοῖς ἐπιτρέψαι περὶ τοῦ πράγματος, οἳ πειράσονται
6 μισοπονήρως χρήσασθαι τοῖς αἰτίοις. Ἡ δὲ σύγκλητος,
διακούσασα τῶν πρεσβευτῶν, ἀκολούθως ταῖς ἐντολαῖς
διαλεγομένων, καὶ δυσχρηστοῦσα διὰ τὸ πανταχόθεν

versus. Qui quum renunciasset, omnibus patrum decretis obtemperatum fuisse a Rhodiis, deinde omnes apud eos capitis fuisse damnatos, quorum opera alienatus populus fuerat a Romanis, dicentibus contrarium os obturavit, et ut *societatem Romani cum Rhodiis* inirent, pervicit.

*

(*Legatio CV.*)

VIII. Aliquanto post *Achæorum legati* in curiam sunt ingressi, convenientia habentes mandata ei responso, quod a senatu ante acceperant. Responsum nempe fuerat, *mirari populum Romanum Achæos, qui, in quos homines jam ipsi pronunciavissent sententiam, eorumdem caussam rursus ut senatus cognoscat, postularent.* Idcirco legatio hæc fuerat missa, cujus princeps Eureas, ut patribus iterum confirmaret, *neque in judicio umquam auditos fuisse ab Achæis eos, qui apud Romanos fuerant accusati, neque ullam adversus ipsos sententiam ab iis esse pronunciatam. Propterea postulare Achæos a senatu, ut cognosci de eorum hominum caussa jubeat, neque indemnatos perire miseros patiatur. Quod si posset fieri, maxime optare Achæos, ut senatus ipse, re inquisita, quinam ex his sontes sint, sua sententia declaret: sin hoc per alias occupationes non licet, negotium Achæis ut permitterent, qui odium suum erga improbos in scelerum auctoribus sint palam facturi.* In hanc sententiam, sicut mandatum fuerat, disserentes legatos quum audissent patres; incessit eorum animos dubita-

Ol. 153. 4.

ἐξελέγχεσθαι· τό τε γὰρ κρίνειν οὐκ ἐνόμιζεν αὐτῇ 7
καθήκειν, τό τε χωρὶς κρίσεως ἀπολύειν τοὺς ἄνδρας,
πρόδηλον ἔχειν ἐδόκει τὸν ὄλεθρον τοῖς φίλοις αὐτῶν.

Iniquum responsum senatum.

Διόπερ ἀναγκαζομένη, καὶ βουλομένη παρελέσθαι καθ- 8
όλου τὴν ἐλπίδα τῶν πολλῶν ὑπὲρ τῆς τῶν κατεχομένων
σωτηρίας, ἵνα [z] συμμύσαντες πειθαρχῶσιν, ἐν μὲν Ἀχαΐᾳ
τοῖς περὶ τὸν Καλλικράτην, ἐν δὲ τοῖς ἄλλοις πολι-
τεύμασι τοῖς δοκοῦσιν εἶναι [a] Ῥωμαίων φίλοις, ἔγραψαν
ἀπόκρισιν τοιαύτην· ὅτι [b] ἡμεῖς οὐχ ὑπολαμβάνομεν συμ- 9
φέρειν, [οὔτε τοῖς Ῥωμαίοις,] οὔτε τοῖς ὑμετέροις δήμοις,

Non remittuntur exsules.

τούτους τοὺς ἄνδρας ἐπανελθεῖν εἰς οἶκον. Ταύτης δὲ 10
τῆς ἀποκρίσεως ἐκπεσούσης, οὐ μόνον περὶ τοὺς ἀνακε-
κλημένους ἐγένετό τις ὁλοσχερὴς ἀθυμία καὶ παράλυσις
τῆς ψυχῆς, ἀλλὰ καὶ περὶ τοὺς Ἕλληνας ὡσανεὶ κοινόν
τι πένθος· ἅτε δοκούσης τῆς ἀποκρίσεως ὁλοσχερῶς
ἀφαιρεῖσθαι τὴν ἐλπίδα τῆς σωτηρίας τῶν [c] ἀκληρούντων.
Κατὰ δὲ τὴν Ἑλλάδα διαγγελθείσης [d] τῆς ἀποκρίσεως, 11
τῆς τοῖς Ἀχαιοῖς δεδομένης ὑπὲρ τῶν καταιτιαθέντων,
τὰ μὲν πλήθη συνετρίβη ταῖς διανοίαις, καί τις οἷον
ἀπελπισμὸς ὑπέδραμε τοὺς ἀνθρώπους· οἱ δὲ περὶ τὸν 12

[z] συμμύσαντες correxi ex Casaub. et Reiskii conject. Vulgo συμμίξαντες. [a] Post Ῥωμαίων lacuna erat, quam inserto vocab. φίλοις explevi. [b] ἡμεῖς restitui ex MStis. Deinde vero verba οὔτε τοῖς Ῥωμαίοις ex conject. adjeci: sed Reiskio forsan obtemperare debebam οὔτε ἡμῖν scribere jubenti. Quæ cum abessent, Ursinus ἡμεῖς in ὑμῖν ex ing. mutaverat. [c] Inter ἀκληρούντων et Κατὰ δὲ τὴν Ἑλλάδα inseruntur vulgo illa *de Tib. Graccho*, quæ supra ad finem *cap. V. versu* 7 *et* 8. rejeci. [d] Articulum ex conject. adjeci.

tio, quid esset opus facto, quoniam, quidquid statuerent, in reprehensionem erant incursuri. Nam ut judicium de reis peragerent, convenire sibi non arbitrabantur; sine judicio autem eos dimittere, cum manifesta pernicie eorum erat conjunctum, qui populi Romani sectam sequebantur. Itaque partim coacti patres, partim spem omnem præcidere volentes populo Achæorum de eorum salute, qui tenebantur captivi; ut omnes deinceps labia compescerent, et jussis parerent; in Achaia quidem ad *Callicratem*, in aliis vero civitatibus ad eos, qui Romanæ partis erant, hujusmodi responsum scripserunt: [*neque Romanis,*] *neque populis vestris conducibile esse existimamus, ut isti homines in patriam revertantur.* Hoc responsum ubi vulgatum est, non solum evocatos consternatio ingens subiit, ut plane animos desponderent, verum etiam communis veluti luctus Græcorum est secutus; quod videretur hoc responso miseris hominibus spes salutis in perpetuum esse præcisa. In Græciam vero postquam nunciatum est idem responsum, quod Achæis dederant Romani super illis, qui accusati fuerant; vulgo omnium dejecti sunt animi, desperatione quadam mentes singulas invadente:

[e]Χάροπα καὶ Καλλικράτην, καὶ πάντες οἱ τῆς αὐτῆς
ὑποθέσεως προεστῶτες, μετέωροι πάλιν ἐγενήθησαν.

A. U. 590.
Charopis et Callicratis insolentia.

(II.) *Fratres* Eumenis *Romam legati.*

* * *

IX. [f]Τιβέριος τοὺς Καμμανοὺς, τὰ μὲν βιασάμενος,
τὰ δὲ παραλογισάμενος, ὑπηκόους ἐποίησε Ῥωμαίοις.

Gracchus Cammanos subigit.

*

2 Εἰς δὲ τὴν Ῥώμην καὶ πλειόνων παραγεγονότων,
ἐχρημάτισεν ἡ σύγκλητος τοῖς περὶ Ἄτταλον καὶ τὸν
3 Ἀθηναῖον. Συνέβαινε γὰρ, τὸν Προυσίαν οὐ μόνον αὐτὸν
ἐνεργῶς κεχρῆσθαι ταῖς διαβολαῖς, ταῖς κατὰ τὸν
Εὐμένη [g]καὶ τὸν Ἄτταλον, ἀλλὰ καὶ τοὺς Γαλάτας
[h]παρωξυγκέναι, καὶ τοὺς [i]Σελγεῖς, καὶ πλείους ἑτέρους
4 κατὰ τὴν Ἀσίαν, πρὸς τὴν αὐτὴν ὑπόθεσιν. ὧν χάριν
ὁ βασιλεὺς Εὐμένης ἐξαπεστάλκει τοὺς ἀδελφοὺς, ἀπο-
5 λογησομένους πρὸς τὰς ἐπιφερομένας διαβολάς. Οἳ
καὶ παρελθόντες εἰς τὴν σύγκλητον, ἐνδεχομένως ἔδοξαν
πρὸς ἅπαντας τοὺς κατηγοροῦντας ποιήσασθαι τὴν ἀπο-
λογίαν· καὶ τέλος, οὐ μόνον [k]ἀποτριψάμενοι τὰς
ἐπιφερομένας αἰτίας, ἀλλὰ καὶ τιμηθέντες ἐπανῆλθον
6 εἰς τὴν Ἀσίαν. Οὐ μὴν τῆς γε κατὰ τὸν Εὐμένη καὶ

Attalus et Athenæus respondent calumniis Prusiæ.

[e] Χάροπα correxi. Vulgo h. l. Χάροπον, contra constantem Polybii usum. [f] Introitus iste hujus Eclogæ imperite a Compilatore contractus, aut importune huc relatus videtur. [g] καὶ τὸν Ἀντίοχον suspicatus est Gronov. κατὰ τοῦ Εὐμένους καὶ τοῦ Ἀττάλου corrigere jussit Reisk. [h] παρωξυγκέναι correxi cum Reisk. Vulgo παρωξυκέναι. [i] Σελγεῖς ex cod. Ursini recepit Casaub. Ἐλγεῖς ediderat Urs. Ἐλεγεῖς est in Bav. [k] ἀποτριψάμενοι correxi cum Reisk. Vulgo ἀποτριψάμ.

at *Charops* et *Callicrates*, et quicumque eam sectam sequebantur, nova iterum spe sunt elati.

(II.) *Legatio CVI.*

* * *

IX. *Tiberius Cammanos*, partim vi compulsos, partim dolo circumventos, in populi Romani redegit potestatem.

*

Romam vero quum plures *legati* venissent, senatus *Attalo et Athenæo* est datus. *Prusias* enim non solum ipse omni studio calumniatus erat Eumenem et Attalum, verum etiam Gallos ac Selgenses, multosque alios Asiæ populos, ad faciendum idem incitaverat. Idcirco rex *Eumenes* fratres Romam miserat, qui ad criminationes in ipsum collatas responderent. Hi igitur curiam ingressi, omnibus, qui aliquid objecissent, non male visi sunt respondisse: ac tandem non solum omnia, quæ objiciebantur, crimina diluerunt, sed etiam honoribus, priusquam in patriam redirent, sunt aucti. At non propterea suspicionem dudum

Ol. 153. 4. C. Sulpicius, M'. Sergius, legati in Græciam et Asiam.

κατὰ τὸν Ἀντίοχον ὑποψίας ἔληγεν ἡ σύγκλητος·
ἀλλὰ Γάϊον Σουλπίκιον καὶ Μάνιον Σέργιον καταστή-
σασα πρεσβευτὰς ἐξαπέστελλεν· ἅμα μὲν ἐποπτεύσοντας 7
τὰ κατὰ τοὺς Ἕλληνας, ἅμα δὲ τοῖς Μεγαλοπολίταις
καὶ τοῖς Λακεδαιμονίοις διευκρινήσοντας περὶ τῆς ἀντι-
λεγομένης χώρας· μάλιστα δὲ πολυπραγμονήσοντας 8
τὰ κατὰ τὸν Ἀντίοχον καὶ κατὰ τὸν Εὐμένη, μή τις
ἐξ αὐτῶν παρασκευὴ [l]γένηται καὶ κοινοπραγία κατὰ
Ῥωμαίων.

(III.) C. Sulpicius Gallus *legatione fungitur in Asia.*

* * *

Acerbe agit cum Eumene.

X. Γάϊος ὁ Γάλλος, χωρὶς τῶν ἄρτι ῥηθέντων ἀλογη-
μάτων, παραγενόμενος εἰς τὴν Ἀσίαν, ἐκθέματα κατὰ
τὰς πόλεις ἐξέθηκε τὰς ἐπιφανεστάτας· κελεύων, εἴ τις 2
βούλεται κατηγορεῖν Εὐμένους τοῦ βασιλέως, ἀπαντᾷν
εἰς Σάρδεις ἐπί τινα χρόνον ὡρισμένον. Μετὰ δὲ ταῦτα 3
παραγενηθεὶς αὐτὸς εἰς τὰς Σάρδεις, [m]ἀποκαθίσας ἐν
τῷ γυμνασίῳ, ἐπὶ δέχ' ἡμέρας διήκουε τῶν κατηγορούν-
των· πᾶσαν ἐπιδεχόμενος αἰσχρολογίαν καὶ λοιδορίαν 4
κατὰ τοῦ βασιλέως, καὶ καθόλου πᾶν [n]ἕλκων πρᾶγμα
καὶ κατηγορίαν· ἅτε παρεστηκὼς ἄνθρωπος τῇ διανοίᾳ, 5
καὶ φιλοδοξῶν ἐν τῇ πρὸς Εὐμένην διαφορᾷ.

[l] γένηται ex conject. correxi. Vulgo γίνεται. [m] Usitatius de judice verbum προκαθίσας. [n] ἐλέγχων suspicatus est Reisk.

conceptam adversus Eumenem et Antiochum remisit senatus; sed *C. Sulpicium* et *Manium Sergium* decrevit legatos, misitque partim ut res Græcorum propius adspicerent, partim ut inter Megalopolitanos et Lacedæmonios controversiam disceptarent, quæ super agro quodam dubii juris fuerat inter ipsos exorta. Præcipuus tamen legationis hujusce erat finis, ut *de consiliis Antiochi atque Eumenis* diligenter inquirerent, numquid bello necessaria adpararent, ac societatem adversus Romanos junxissent.

(III.) *Excerptum Valesianum.*

* * *

X. *C. Sulpicius Gallus*, præter cetera imprudenter facta, quæ proxime commemoravi, in *Asiam* postquam pervenit, per celeberrimas civitates edicta proposuit, quibus jubebat, ut *quicumque Eumenem regem accusare vellet, ad diem certum Sardibus præsto esset.* Deinde ipse cum Sardes venisset, posita in gymnasio sella, per decem dies accusatoribus vacavit; omnis generis probra ac convicia in regem libentissime admittens, et omnino omnem rem omnemque accusationem in longum trahens: quippe qui vano esset ingenio, atque ex dissensione cum Eumene gloriam captaret.

(IV.) *Mors* Antiochi Epiphanis. A. U. 590.

* * *

XI. Κατὰ τὴν Συρίαν Ἀντίοχος ὁ βασιλεὺς, βουλόμενος εὐπορῆσαι χρημάτων, προέθετο στρατεύειν ἐπὶ Dianæ templ. in Elymaide.
2 τὸ τῆς Ἀρτέμιδος ἱερὸν εἰς τὴν Ἐλυμαΐδα. Παραγενόμενος δ' ἐπὶ τοὺς τόπους, καὶ διαψευσθεὶς τῆς ἐλπίδος, διὰ τὸ μὴ συγχωρεῖν τῇ παρανομίᾳ τοὺς βαρ-
3 βάρους °τοὺς οἰκοῦντας περὶ τὸν τόπον· ἀναχωρῶν, ἐν
4 Τάβαις τῆς Περσίδος ἐξέλιπε τὸν βίον· δαιμονήσας, ὥς Tabæ opp. Persidis.
ἔνιοί φασι, διὰ τὸ γενέσθαι τινὰς ἐπισημασίας τοῦ δαιμονίου κατὰ τὴν περὶ τὸ προειρημένον ἱερὸν παρανομίαν.

(V.) Demetrius, *obses Romæ, frustra petit a Senatu, ut in regnum Syriæ restituatur.*

* * *

XII. Δημήτριος, ὁ τοῦ Σελεύκου, πολὺν ἤδη χρόνον Demetrii postulatum.
κατεχόμενος ἐν τῇ Ῥώμῃ κατὰ τὴν ᵖὁμηρείαν, πάλαι
2 μὲν ἐδόκει παρὰ τὸ δίκαιον κατέχεσθαι· δοθῆναι γὰρ ὑπὸ Σελεύκου τοῦ πατρὸς, τῆς ἐκείνου πίστεως ἕνεκεν· Ἀντιόχου δὲ μετειληφότος τὴν βασιλείαν, οὐκ ὀφείλειν
3 ὑπὲρ ἐκείνου τέκνων ὁμηρεύειν. Οὐ μὴν, ἀλλὰ τὸν μὲν πρὸ τοῦ χρόνον ἦγε τὴν ἡσυχίαν, καὶ μάλιστα διὰ
4 τὴν ᵠἀδυναμίαν· ἦν γὰρ ἔτι παῖς. τότε δὲ τὴν ἀκμαιο-

° Articulum ex conject. adjeci. ᵖ ὁμηρίαν Bav. ᵠ ἀδυναμίαν correxit Ursin. δύναμιν erat in MStis.

(IV.) *Excerptum Valesianum.*

* * *

XI. In *Syria*, Antiochus rex, pecuniam comparare cupiens, adversus *Dianæ templum in Elymaide* expeditionem statuit suscipere. Quo cum pervenisset, spe sua frustratus, quod barbari ea loca incolentes tantum scelus fieri prohiberent; regressus, *Tabis*, quod Persidis oppidum est, e vivis discessit; insania, ut quidam aiunt, correptus, ob quædam signa atque ostenta, quæ ob violatam religionem, templi ab infesto numine edita erant.

(V.) *Legatio CVII.*

* * *

XII. Demetrius, *Seleuci filius*, quum multos jam annos *obses Romæ* esset detentus, ille quidem jam dudum *injuria detineri se* querebatur: *datum enim se fuisse a Seleuco patre, fidei illius obsidem: nunc quum patris loco Antiochus regnaret, æquum non esse, ut pro illius filiis obses remaneret.* Sed hactenus quidem Demetrius, ut qui propter ætatem puerilem præesse rebus suis non posset, nihil moverat. Tunc vero, quum tempus ætatis flo-

Ol. 153. 4. τάτην ἔχων ἡλικίαν, ἐποιήσατο λόγους, εἰσελθὼν εἰς τὴν σύγκλητον, ἀξιῶν καὶ παρακαλῶν, κατάγειν αὐτὸ ἐπὶ τὴν βασιλείαν· καθήκειν γὰρ αὐτῷ μᾶλλον, ἢ τοῖς Ἀντιόχου τέκνοις, τὴν ἀρχήν. Διαθεμένου δὲ καὶ 5
πλείονας λόγους αὐτοῦ πρὸς τὴν προειρημένην ὑπόθεσιν, καὶ μάλιστα προσδραμόντος ἐν τῷ λέγειν, διότι συμβαίνει, καὶ πατρίδα καὶ τροφὸν τὴν Ῥώμην ὑπάρχειν αὐτῷ, καὶ τοὺς μὲν υἱοὺς τῶν ἐκ τοῦ συνεδρίου ἅπαντας ἀδελφῶν ἔχειν διάθεσιν, τοὺς δὲ βουλευτὰς πατέρων, διὰ τὸ παραγενέσθαι μὲν ἔτι νήπιος, τότε δὲ κατὰ

Negat senatus.

ἡλικίαν ὑπάρχειν ἐτῶν εἴκοσι καὶ τριῶν· ἐνετρέποντο μὲν 6
ἅπαντες ἀκούοντες ἐν ἑαυτοῖς, κοινῇ γε μὴν ἔδοξε τῇ συγκλήτῳ, τὸν μὲν Δημήτριον κατασχεῖν, τῷ δὲ καταλελειμμένῳ παιδὶ συγκατασκευάζειν τὴν ἀρχήν. Τοῦτο δ' ἐποίησεν, ὡς ἐμοὶ δοκεῖ, ὑπειδομένη τὴν ἀκμὴν 7
τοῦ Δημητρίου, μᾶλλον δὲ κρίνασα, συμφέρειν τοῖς σφετέροις πράγμασι τὴν νεότητα καὶ τὴν ἀδυναμίαν τοῦ παιδὸς, τοῦ διαδεδεγμένου τὴν βασιλείαν. Ἐγένετο δὲ 8
τοῦτο δῆλον ἐκ τῶν μετὰ ταῦτα συμβάντων. Εὐθέως 9

Cn. Octavius legatus in Asiam,

γὰρ καταστήσαντες πρεσβευτὰς τοὺς περὶ [r] Γνάϊον Ὀκταούϊον καὶ Σπόριον Λουκρήτιον καὶ Λεύκιον Αὐρήλιον, ἐξέπεμψαν, τοὺς διοικήσοντας τὰ κατὰ τὴν βασιλείαν, ὡς αὐτοὶ προῃροῦντο· διὰ τὸ μηδένα αὐτῶν 10
ἐμποδὼν στησόμενον εἶναι τοῖς ἐπιταττομένοις, τοῦ μὲν

[r] Γνάϊον Ὀκταούϊον correxit Ursinus. Τιβέριον Ὀκτάβιον erat h. l. in MStis.

rentissimæ ageret, in curiam ingressus, a patribus postulavit, petiitque, ut *per populum Romanum in regnum restitueretur: ad se enim potius, quam ad Antiochi filios, regnum pertinere.* Et quum in hanc sententiam plura disseruisset, atque illud præsertim subinde repetiisset, *patriam sibi et altricem terram esse Romam, omnes senatorum filios instar fratrum, ipsos senatores loco patrum, ut qui Romam parvulus venisset, jam autem annos tres et viginti esset natus:* etsi movebantur patres, quum hæc dicentem audirent; omnes tamen communi consensu decreverunt, *Demetrium esse detinendum, et puero, quem Antiochus reliquerat, regnum firmandum.* Cujus consilii ea, nisi fallor, caussa fuit, quod florem ætatis, in qua tum erat Demetrius, suspectum senatus habebat, conducibilioremque rebus suis ætatem infirmam illius, qui relictus erat successor, judicabat. Atque hoc, quæ postea sunt secuta, palam fecerunt. Extemplo enim *legatos* decreverunt, *Cn. Octavium, Sp. Lucretium,* et *L. Aurelium;* quos ad regnum illud administrandum ex voluntate ipsius senatus miserunt: quippe fore neminem impedimento,

βασιλέως παιδὸς ὄντος, τῶν δὲ προεστώτων ἀσμενιζόντων A. U. 590.
ἐπὶ τῷ μὴ παραδεδόσθαι τὰ πράγματα τῷ Δημητρίῳ·
11 μάλιστα γὰρ τοῦτο προσεδόκων. Οἱ μὲν οὖν περὶ τὸν
Γναΐον ἐξώρμησαν, ἔχοντες ἐντολὰς, πρώτας μὲν, τὰς
ναῦς τὰς καταφράκτους διαπρῆσαι, μετὰ δὲ ταῦτα,
τοὺς ἐλέφαντας νευροκοπῆσαι, καὶ καθόλου λυμήνασθαι
12 τὴν βασίλειον δύναμιν. Προσενετείλαντο δὲ τούτοις, et in Macedoniam,
καὶ τὰ κατὰ τὴν Μακεδονίαν ἐπισκέψασθαι. συνέβαινε
γὰρ, τοὺς Μακεδόνας, ἀήθεις ὄντας δημοκρατικῆς καὶ
13 συνεδριακῆς πολιτείας, στασιάζειν πρὸς αὐτούς. Ἔδει et ad Ariarathum.
δὲ τοὺς περὶ τὸν Γναΐον καὶ τὰ περὶ τοὺς Γαλάτας,
καὶ τὰ κατὰ τὴν Ἀριαράθου βασιλείαν ἐποπτεῦσαι.
14 Μετὰ δέ τινα χρόνον αὐτοῖς [r]ἐπαπεστάλη γράμματα
παρὰ τῆς συγκλήτου, καὶ τοὺς ἐν Ἀλεξανδρείᾳ βασι-
λεῖς διαλῦσαι κατὰ δύναμιν.

(VI.) *Legationes Romanæ ad Ariarathem, Cappadociæ regem.*

* * *

XIII. [s]Κατὰ τοὺς καιροὺς τούτους παρεγένοντο πρέσ- M. Junius legatus.
βεις ἐκ τῆς Ῥώμης· πρῶτον μὲν οἱ περὶ τὸν Μάρκον
Ἰούνιον, διευκρινήσοντες τὰ πρὸς τοὺς Γαλάτας δια-
2 φέροντα τῷ βασιλεῖ. Ἐπειδὴ γὰρ οὐκ ἠδυνήθησαν οἱ
Τρόκμοι δι' αὐτῶν ἀποτεμέσθαι τῆς Καππαδοκίας οὐδὲν, Trocmi.

[r] Nescimus an Ursini ingenio hoc debeatur. ἐπεστάλη Bav. quod probum erat, et teneri debuerat. [s] Desideratur hæc Ecloga in Cod. Bav.

rege puero, et principibus aulæ bene agi secum existimantibus, si Romani Demetrio regnum non traderent; quod futurum illi maxime existimaverant. Profectus igitur est Cnæus cum collegis, postquam mandata hujusmodi essent accepta, ante omnia, ut naves tectas comburerent, deinde ut elephantis nervos inciderent, et uno verbo regias opes quam maxime possent imminuerent. Præterea mandatum istis est, ut *Macedoniam* inviserent: nam Macedones, qui popularis status insolentes erant, et publici concilii usum nullum habebant, seditiones inter se agitabant. Jussi etiam fuerant hi legati, res *Gallogræcorum* et *Ariarathis* regnum diligenter invisere. Post aliquod vero tempus missæ ad illos a senatu sunt literæ, quibus jubebantur, reges etiam Alexandriæ omni studio invicem conciliare.

(VI.) *Legatio CVIII.*

* * *

XIII. Per id tempus venerunt Roma legati, primo quidem *M. Junius*, ad disceptandas controversias inter *Gallogræcos* et regem *Ariarathem*. Postquam enim Trocmi regni Cappadociæ nullam partem occupare potuerunt,

Ol. 153. 4. ἀλλ' ἐκ χειρὸς [ᵗἀεὶ ἐδάμησαν, τὸν Καππαδόκην ἐπιβαλόμενοι πολεμεῖν·] καταφυγόντες ἐπὶ Ῥωμαίους, διαβάλλειν ἐπειρῶντο τὸν Ἀριαράθην. Ὧν χάριν ἀπε- 3
στάλησαν οἱ περὶ τὸν Ἰούνιον. πρὸς οὓς ὁ βασιλεὺς ποιησάμενος τοὺς ἁρμόζοντας λόγους, καὶ τἄλλα φιλανθρώπως ὁμιλήσας, ἐκείνους μὲν εὐλογοῦντας ἀπέ-
Cn. Octavius legatus. στειλε. Μετὰ δὲ ταῦτα παραγενομένων πρεσβευτῶν 4
τῶν περὶ Γνάϊον Ὀκταούϊον καὶ Σπόριον Λουκρήτιον, καὶ διαλεγομένων τῷ βασιλεῖ πάλιν περὶ τῶν πρὸς τοὺς Γαλάτας αὐτῷ διαφερόντων· βραχέα περὶ τούτων κοινο- 5
λογησάμενος, καὶ φήσας, εὐεπάγωγος εἶναι πρὸς τὸ κριθὲν, λοιπὸν ἤδη τὸν πλείω λόγον ὑπὲρ τῶν κατὰ Συρίαν ἐποιεῖτο πραγμάτων, εἰδὼς ἐκεῖσε προάγοντας τοὺς περὶ τὸν Ὀκταούϊον· ὑποδεικνύων αὐτοῖς τὴν ἀκα- 6
ταστασίαν τῆς βασιλείας, καὶ τὴν οἰκειότητα τῶν προεστώτων αὐτῆς, καὶ προσεπαγγελλόμενος, ἀκολουθήσειν μετὰ δυνάμεως, καὶ συνεφεδρεύσειν τοῖς καιροῖς, ἕως ἂν ἐπανέλθωσιν πάλιν ἐκ τῆς Συρίας ἀσφαλῶς.
Οἱ δὲ περὶ τὸν Γνάϊον, ἐν πᾶσιν ἀποδεχόμενοι τὴν τοῦ 7
βασιλέως εὔνοιαν καὶ προθυμίαν, κατὰ μὲν τὸ παρὸν οὐκ ἔφασαν προσδεῖσθαι τῆς παραπομπῆς· εἰς δὲ τὸ 8
μέλλον, ἐάν τις ὑποπίπτῃ χρεία, διασαφήσειν ἀόκνως· κρίνειν γὰρ αὐτὸν ἕνα τῶν ἀληθινῶν Ῥωμαίοις φίλων.

ᵗ Verba uncis inclusa ex conjectura maxime Reiskii emendavi. Pro eis vulgo hæc leguntur: ἐκ χειρὸς ᾠκοδομήσαντο τὴν * δόκην ἐπιβαλόμενοι τόλμαν.

sed e vestigio statim repulsi sunt, quoties bellum inferre Cappadoci fuerant ausi; confugientes ad Romanos, Ariarathem in odium illorum adducere sunt conati. Idcirco missa est ad regem legatio, cujus princeps *Junius.* Cum quibus rex pro tempore locutus, quum prolixa humanitate eos accepisset, suas ipsius laudes prædicantes dimisit. Postea legati alii venerunt, *Cn. Octavius et Spurius Lucretius.* Qui ubi regem denuo adlocuti essent de controversia, quam habebat cum Gallogræcis; ille paucis rem omnem exponere, ac dicere, *in eorum judicio facile se adquieturum.* Ceterum *de Syriæ rebus* pleraque omnis ejus fuit oratio, quod sciret, eo pergere Octavium. Ostendit igitur legatis, *et regni illius quam incertus esset status, et quanta sibi cum illis necessitudo intercederet, qui rerum ibi potirentur.* Pollicitus item est illis, *cum copiis se eos comitaturum, et paratum intentumque ad omnem occasionem futurum, donec absque omni periculo ex Syria essent reversi.* Legati ubi significassent, quam grata sibi esset hæc regis benevolentia et propensus animus, *in præsentia quidem ejus comitatu opus sibi non esse* dixerunt; *in posterum vero si qua in re præsidio opus haberent, illi se absque ulla cunctatione significaturos;* quem inter vere amicos populi Romani numerarent.

III.

RES GESTÆ ANNO URBIS DXCI.

(I.) *Res* ARIARATHIS, *Ariarathis filii, regis Cappadociæ.*

* * *

Ol. 154. 1. A. U. 591. Ariarathes succedit patri.

XIV. ΠΑΡΕΓΕΝΟΝΤΟ κατὰ τὸν αὐτὸν καιρὸν παρὰ Ἀριαράθου, τοῦ νεωστὶ διαδεδεγμένου τὴν Καππαδοκῶν βασιλείαν, πρέσβεις, ἀνανεωσόμενοι τήν τε
2 φιλίαν καὶ συμμαχίαν τὴν προϋπάρχουσαν· καὶ καθόλου παρακαλέσοντες τὴν σύγκλητον, ἀποδέξασθαι τὴν τοῦ βασιλέως εὔνοιαν καὶ προθυμίαν, ἣν ἔχει καὶ κοινῇ
3 καὶ κατ' ἰδίαν πρὸς ἅπαντας Ῥωμαίους. Ἡ δὲ σύγκλητος διακούσασα τῶν λόγων, τήν τε φιλίαν ἀνενεώσατο καὶ τὴν συμμαχίαν, καὶ καθόλου τὴν ὅλην αἵρεσιν ἀποδεξαμένη τοῦ βασιλέως, [u]φιλάνθρωπος ἐγεν-
4 ήθη. Τοῦτο δ' ἐγένετο μάλιστα διὰ τὸ τοὺς περὶ τὸν Τιβέριον, καθ' ὃν καιρὸν ἐξαπεστάλησαν ἐπισκεψόμενοι τὰ κατὰ τοὺς βασιλεῖς, ἐπανελθόντας, εὐφήμους λόγους ποιήσασθαι, περί τε τοῦ πατρὸς καὶ καθόλου τῆς βασι-
5 λείας αὐτῶν. Οἷς πιστεύσαντες οἱ τοῦ συνεδρίου, τούς τε πρεσβευτὰς φιλανθρώπως ἀπεδέξαντο, καὶ τὴν ὅλην αἵρεσιν τοῦ βασιλέως.

Amicitiam renovat cum Romanis.

[u] φιλανθρώπως ἀπεκρίθη suspicatus est Reisk.

III.

(I.) *Legatio CIX. (et CXII.)*

* * *

XIV. EODEM tempore ab *Ariarathe*, qui regni Cappadociæ successionem paullo ante adierat, venerunt legati, ad renovandam amicitiam et societatem, quæ jam ante illi regno intercesserat cum populo Romano, et ad rogandum senatum, ut regem, qui publice privatimque universis Romanis bene cuperet, et ad omnia officia esset paratus, benevolentia sua complecteretur. Senatus, audita ejus oratione, non solum amicitiam societatemque renovavit; sed etiam, laudato regis animo, comiter legatos excepit. Hoc autem propterea factum, quia *Tiberius*, qui ad cognoscenda regum consilia fuerat missus, reversus ab ea legatione, de patris ipsius animo erga populum Romanum, atque in universum de eorum regno, multa benigna retulerat. Quibus confisi patres, perhumaniter exceperunt legatos, et regis voluntatem collaudarunt.

Ol. 154. 1.

* *

Lætatur amicitia Romanorum.

XV. Ὁ δὲ Ἀριαράθης, ὁ βασιλεὺς Καππαδοκίας, προσδεδεγμένος τοὺς εἰς τὴν Ῥώμην ἀποσταλέντας πρεσβευτὰς, νομίσας ἐκ τῶν ἀποκρίσεων ἐν ὀρθῷ κεῖσθαι τὴν βασιλείαν αὐτῷ, ἐπειδὴ καθῖκται τῆς Ῥωμαίων εὐνοίας, ἔθυε τοῖς θεοῖς χαριστήρια τῶν γεγονότων, καὶ τοὺς

Ossa matris et sororis repetit a Lysia.

ἡγεμόνας εἱστία. Μετὰ δὲ ταῦτα πρεσβευτὰς ἀπέ- 2
στειλε πρὸς τοὺς περὶ τὸν Λυσίαν εἰς τὴν Ἀντιόχειαν, σπουδάζων ἀνακομίσασθαι τὰ τῆς ἀδελφῆς καὶ μητρὸς ὀστᾶ. Τὸ μὲν οὖν ἐγκαλεῖν ὑπὲρ τοῦ γεγονότος ἀσεβή- 3
ματος ἀπεδοκίμαζεν, οὐ βουλόμενος ἐρεθίζειν τοὺς περὶ τὸν Λυσίαν, ἵνα μὴ διαψευσθῇ τῆς προθέσεως, καίπερ βαρέως φέρων τὸ γεγονός· ἀξιωματικὰς δὲ δοὺς ἐντολὰς, ἐξαπέστειλε τοὺς πρέσβεις. Τῶν δὲ περὶ τὸν 4
Λυσίαν συγχωρησάντων, καὶ τῶν ὀστῶν ἀνακομισθέντων ὡς αὐτὸν, ἀποδεξάμενος μεγαλομερῶς τὴν παρουσίαν αὐτῶν, ἔθαψε παρὰ τὸν τοῦ πατρὸς τάφον κηδεμονικῶς.

(II.) *Res* Rhodiorum.

* * *

Rhodiorum legatio Romam.

XVI. Οἱ Ῥόδιοι, διαπεπνευκότες ἐκ τῆς περὶ αὐτοὺς γενομένης δυσχερείας, ἔπεμπον εἰς τὴν Ῥώμην πρεσβευτὰς, τοὺς περὶ Κλεαγόραν· [x Κάλυνδαν πόλιν] 2

x Verba Κάλυνδαν πόλιν ex conject. restitui. Κλεαγόραν καὶ λάνδαμιν Bav. Κλεαγόραν καὶ λύνδαμιν cod. Urs. Unde Κλ. καὶ Λύγδαμιν fecit Ursinus. Cum ad verbum παραχωρηθῆναι desideraretur nomen, Reiskius supplendum suspicatus est τὸ ἐλλιμένιον.

(*Legatio CXII.*)

* *

XV. *Ariarathes*, *Cappadociæ* rex, post reditum legatorum quos Romam miserat, persuasus ex eorum responsis, in tuto sibi regnum esse collocatum, quandoquidem benevolentiam Romanorum esset nactus; ut pro tanto beneficio diis gratias ageret, rem sacram facere instituit, et duces suos convivio excepit. Post hæc Antiochiam legatos ad *Lysiam* misit, quo sororis matrisque ossa reciperet. Ac de scelere quidem impio, quod fuerat admissum, expostulare in præsentia supersedendum sibi esse existimavit, quantumvis iniquo animo rem ferret; ne, si Lysiam irritaret, voti sui compos non fieret. Mandavit igitur legatis, ut precibus magis, quam exprobratione, uterentur. Quum autem permittente Lysia reportatæ reliquiæ ad illum fuissent, magnifico adparatu illa suscepit, et summo studio juxta patris tumulum humavit.

(II.) *Legatio CX.* (*et CXI.*)

* * *

XVI. *Rhodii* posteaquam ex illa superiore calamitate respirarunt, legatos Romam miserunt, Cleagoram cum

3 [y] ἀξιώσοντας σφίσι παραχωρηθῆναι· περὶ δὲ τῶν ἐχόν- A. U. 591.
των ἐν τῇ Λυκίᾳ καὶ Καρίᾳ κτήσεις, αἰτησομένους τὴν σύγκλητον, ἵνα αὐτοῖς ἔχειν ἐξῇ, καθὰ καὶ πρότερον.
4 Ἐψηφίσαντο δὲ καὶ [z] κολοσσὸν στῆσαι τοῦ δήμου τῶν Ῥωμαίων ἐν τῷ τῆς Ἀθηνᾶς ἱερῷ τριακοντάπηχυν.

* *

XVII. Τῶν Καλυνδέων ἀποστάντων Καυνίων, καὶ Calynda Rhodiis sese tradit.
μετὰ ταῦτα πολιορκεῖν ἐπιβαλλομένων αὐτοὺς τῶν Καυνίων, τὰς μὲν ἀρχὰς [a] ἐπεκαλέσαντο Κνιδίους οἱ Καλυν-
2 δεῖς· ὧν καὶ παραπεσόντων κατὰ βοήθειαν, ἐπὶ ποσὸν
3 ἀντεῖχον τοῖς ὑπεναντίοις. Ἀγωνιῶντες δὲ τὸ μέλλον, [b] πρέσβεις ἐξέπεμψαν πρὸς Ῥοδίους, ἐγχειρίζοντες σφᾶς
4 αὐτοὺς καὶ τὴν πόλιν. Οἱ δὲ Ῥόδιοι, πέμψαντες βοήθειαν καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, τήν τε
5 πολιορκίαν ἔλυσαν, καὶ παρέλαβον τὴν πόλιν. Συνέβη δὲ, καὶ τὴν σύγκλητον αὐτοῖς βεβαιῶσαι τὴν τῶν Καλυνδέων κτῆσιν.

[y] ἀξιώσοντας correxit Ursin. ἀξιώσοντες dant MSti. [z] κολοσσὸν ingenio Ursini debetur. κολοὺς cod. Urs. πολλοὺς Bav. [a] ἐπεκαλέσαντο correxi cum Reisk. Vulgo ἀπεκαλέσαντο. [b] Pro verbis πρέσβεις ἐξέπεμψαν πρὸς Ῥοδίους, quæ ex conject. restituit Ursinus, nil amplius in MStis erat, nisi πρεσβειῶν μὲν ἐγχειρίζοντες.

collegis, qui [*Calyndam oppidum*] *sibi concedi* postularent: deinde ut eorum nomine, qui in Lycia et Caria prædia habebant, peterent, quo illa pari atque antea jure possidere illis liceret. Insuper decreverunt iidem, in honorem populi Romani *colossum* cubitorum triginta in æde Minervæ dedicare.

(*Legatio CXI.*)

* *

XVII. Quum a Cauniis *Calyndenses* defecissent, ac postea obsidionem eorum adgressi esset *Caunii;* illi principio quidem a *Cnidiis* auxilia poposcerunt: quibus etiam promte suppetias ferentibus, aliquamdiu hostibus restiterunt. Sed mox de exitu belli anxii et solliciti, legationem ad Rhodios miserunt, se suamque urbem illis dedentes. *Rhodii*, terra marique auxilio misso, urbem obsidione liberarunt, eamque sibi traditam acceperunt. Mox vero etiam senatus ejus possessionis retinendæ jus et potestatem illis concessit.

IV.

RES GESTÆ ANNO DXCII.

I. In Italia.

(I.) Ptolemæus *junior* (*Physcon*) *Romæ a Senatu Cyprum insulam petit.*

Ol. 154. 2.
A. U. 592.
Ægypti regnum inter duos fratres divisum.

* * *

XVIII. ΜΕΤΑ τὸ μερίσαι τοὺς Πτολεμαίους τὴν
βασιλείαν, παρεγένετο Πτολεμαῖος ὁ νεώτερος εἰς τὴν
Ῥώμην, ἀθετεῖν βουλόμενος τὸν γεγονότα μερισμὸν
αὐτῷ πρὸς τὸν ἀδελφόν· φάσκων, οὐχ ἑκὼν, ἀλλὰ 2
κατ' ἀνάγκην, τῷ καιρῷ περιληφθεὶς, πεποιηκέναι τὸ
προσταττόμενον. καὶ παρεκάλει τὴν σύγκλητον μερίσαι 3
τὴν Κύπρον αὐτῷ· καὶ γὰρ καὶ τούτου γενομένου,
καταδεεστέραν ἕξειν μερίδα τοῦ ἀδελφοῦ παρὰ πολύ.
Τῶν δὲ περὶ τὸν [c]Κανουλήϊον καὶ Κόϊντον ἀπομαρτυ- 4
ρούντων τοῖς περὶ τὸν [d]Μένυλλον, τοῖς παρὰ τοῦ πρεσ-
βυτέρου παραγεγονόσι πρεσβευταῖς, διότι [e]καὶ τὴν Κυ-
ρήνην ὁ νεώτερος καὶ τὸ πνεῦμα δι' αὐτοὺς ἔχοι· τοι-
αύτην γενέσθαι τὴν τῶν ὄχλων πρὸς αὐτὸν ἀλλοτριότητα
καὶ προσκοπήν· διὸ καὶ, παρ' ἐλπίδα καὶ παραδόξως 5
δεδομένων αὐτῷ τῶν κατὰ Κυρήνην πραγμάτων, ἀσμένως
[f]δέξαιτο, καὶ σφαγίων τμηθέντων καὶ λάβοι τοὺς
ὅρκους παρὰ τἀδελφοῦ, καὶ δοίη περὶ τούτου· τοῦ δὲ

Canuleius et Quintus, legati.

[c] Κανολήϊον Bav. [d] Sic constanter MSti et h. l. et deinde. Quod nomen, nescio quid secutus, Ursinus in Μενίθυλλον mutavit. [e] καὶ τὴν Κυρήνην ex Casauboni conject. scripsi. Vulgo κατὰ Κυρήνην. [f] Sic correxi. Mendose δέξαι Ursin. cum MStis, quod in δέξασθαι sua auctoritate mutavit Casaubonus.

IV.

(I.) *Legatio CXIII.*

* * *

XVIII. POSTQUAM *Ptolemæi* regnum sunt partiti, venit Romam *Ptolemæus junior*, institutam cum fratre partitionem infectam redditurus; quod diceret, *non sponte se, verum difficultatibus temporum cedere coactum, id fecisse, quod jussus fuisset. Petere igitur a senatu, ut Cyprum sibi adjudicaret: nam, etiam sic, longe deteriorem suam portionem fore portione fratris.* Quum vero *Canuleius* ac *Quintus* suo testimonio confirmarent id quod dicebat *Menyllus*, qui a *majore Ptolemæo* legatus aderat: *Ptolemæum nempe juniorem non solum Cyrenen, sed et ipsam vitam, sua opera retinere; adeo vulgo omnium animos ab eo alienatos esse, tantamque offensam contractam, ut pro magno beneficio concessum ipsi præter spem suam et opinionem Cyrenæ regnum acciperet; idque pactum sacris rite peractis, fide data invicemque accepta esse firmatum:* omnibus his contra-

6 Πτολεμαίου πᾶσι τούτοις ἀντιλέγοντος· ἡ σύγκλητος, A. U. 592.
ἅμα μὲν ὁρῶσα τὸν [g] μερισμὸν * γεγονότα τελέως, ἅμα Astuta senatus
δὲ βουλομένη διελεῖν τὴν βασιλείαν πραγματικῶς, αὐ- consilia.
τῶν αἰτίων γενομένων τῆς διαιρέσεως, συγκατέθετο τοῖς
ὑπὸ τοῦ νεωτέρου παρακαλουμένοις ἐπὶ τῷ σφετέρῳ συμ-
7 φέροντι. Πολὺ γὰρ ἤδη τοῦτο τὸ γένος ἐστὶ τῶν
διαβουλίων παρὰ Ῥωμαίοις, ἐν οἷς διὰ τῆς τῶν πέλας
ἀγνοίας αὔξουσι καὶ κατασκευάζονται τὴν ἰδίαν ἀρ-
χὴν πραγματικῶς, [h] ἅμα χαριζόμενοι καὶ δοκοῦντες
8 εὐεργετεῖν τοὺς ἁμαρτάνοντας. Διὸ καὶ καθορῶντες τὸ
μέγεθος τῆς ἐν Αἰγύπτῳ δυναστείας, καὶ δεδιότες, ἄν
ποτε τύχῃ προστάτου, μὴ μεῖζον φρονῇ τοῦ καθήκοντος·
9 κατέστησαν πρεσβευτὰς, Τίτον Τορκουάτον καὶ Γνάϊον T. Torquatus et Cn.
[i] Μερόλαν, τοὺς κατάξοντας ἐπὶ τὴν Κύπρον τὸν Πτο- Merula,
λεμαῖον, καὶ τελειώσοντας ἅμα τὴν ἐκείνων καὶ τὴν legati.
10 αὐτῶν πρόθεσιν. Καὶ παραχρῆμα τούτους ἐξαπέστει-
λαν, δόντες ἐντολὰς, διαλῦσαι τοὺς ἀδελφοὺς, καὶ
κατασκευάσαι τῷ νεωτέρῳ τὴν Κύπρον χωρὶς πολέμου.

(II.) Demetrius *Roma profugit in Syriam.*

* * *

XIX. Κατὰ τὸν καιρὸν τοῦτον προσπεσούσης τῆς Cn. Octavii
2 περὶ τὸν Γνάϊον περιπετείας, ὡς ἀνῃρέθη· καὶ τῶν παρὰ cædes.

[g] Post μερισμὸν excidit nescio quid. Particulam οὐ ex ing. suppleverat Ursinus. ἄτοπον, ἄλογον vel ἄδικον suspicatus est Reisk. [h] Sic correxi et orationem distinxi. Vulgo edebatur ἅμα χειριζόμενοι, καὶ δοκοῦντες. [i] Vulgo Μερούλαν invitis MStis.

dicente Ptolemæo; senatus, videns quidem, omnino * esse divisionem, simul vero, quandoquidem dividendi regni ipsi fratres auctores fuissent, cupiens dato consilio institui partitionem, adsensit junioris fratris postulatis, quæ sibi utiliora esse intelligebat. Multum enim Romani hoc genere consiliorum utuntur, quibus per aliorum imprudentiam suum augent et efficaciter adstruunt firmantque imperium eodem tempore, quo illis, qui sua imprudentia peccant, indulgent et beneficium in eos conferre videntur. Tunc igitur, potentia regni Ægyptiaci intellecta, veriti, ne, si quando caput contingeret illi imperio, altius quam par esset, spiraret, *Titum Torquatum* et *Cn. Merulam* legatos decreverunt, qui *Ptolemæum* in *Cyprum* reducerent, in qui ex sua atque ipsius voluntate negotium illud conficerent. Protinus ergo et legatio hæc missa est cum mandatis, ut pacem inter fratres conciliarent, et juniori regnum Cypri citra vim et arma tradendum curarent.

(II.) *Legatio CXIV.*

* * *

XIX. Eodem fere tempore, postquam esset Romam nuncius adlatus de casu *Cnæi Octavii*, qui occisus fuerat; quumque etiam *legati Antiochi*, quos

Ol. 154. 2. τοῦ βασιλέως Ἀντιόχου πρεσβευόντων, ὧν ὁ Λυσίας
ἔπεμψε, παραγεγονότων, καὶ πολλοὺς διαθεμένων λό-
γους, ὑπὲρ τοῦ [i]μὴ κεκοινωνηκέναι τῆς πράξεως τοὺς
τοῦ βασιλέως φίλους· ἡ μὲν σύγκλητος παρέπεμπε 3
τοὺς πρεσβευτὰς, οὐ βουλομένη διδόναι περὶ τούτων
ἀπόφασιν οὐδεμίαν, οὐδ᾽ ἐκτίθεσθαι καθόλου τὴν αὑτῆς
γνώμην. Ὁ δὲ Δημήτριος, πτοηθεὶς ἐπὶ τοῖς ἠγγελ- 4
μένοις, ἐξαυτῆς προσεκάλει τὸν Πολύβιον, καὶ προσανέ-
φερεν διαπορῶν, εἰ δεῖ πάλιν [k]ἐντυχεῖν τῇ συγκλήτῳ
περὶ τῶν καθ᾽ αὑτόν. Ὁ δὲ παρεκάλει μὴ δὶς πρὸς 5
τὸν αὐτὸν λίθον πταίειν, ἀλλ᾽ ἐν ἑαυτῷ τὰς ἐλπίδας
ἔχειν, καὶ τολμᾷν τι βασιλείας ἄξιον· πολλὰς γὰρ
ὑποδεικνύειν ἀφορμὰς τοὺς ἐνεστῶτας καιρούς. Ὁ δὲ 6
Δημήτριος συννοήσας τὸ λεγόμενον, τότε μὲν ἀπε-
σιώπησε· μετ᾽ ὀλίγον δέ τινι τῶν συνήθων Ἀπολλωνίῳ
μετέδωκε περὶ τῶν αὐτῶν. Ὁ δὲ προειρημένος, ἄκακος 7
ὢν, καὶ κομιδῇ νέος, συνεβούλευε πεῖραν ἔτι λαβεῖν τῆς
συγκλήτου· πεπεῖσθαι γὰρ, ἐπεὶ τῆς βασιλείας ἀλόγως
αὐτὸν [l]ἐστέρηκε, τῆς γε ὁμηρείας αὐτὸν ἀπολύσειν.
ἄτοπον γὰρ εἶναι τελέως, Ἀντιόχου τοῦ παιδὸς διαδε- 8
δεγμένου τὴν ἐν Συρίᾳ βασιλείαν, Δημήτριον ὁμηρεύειν
ὑπὲρ αὐτοῦ. Τούτοις μὲν οὖν τοῖς λόγοις πεισθεὶς, 9
πάλιν εἰσῆλθεν εἰς τὴν σύγκλητον ὁ προειρημένος, καὶ
παρεκάλει τῆς γε κατὰ τὴν ὁμηρείαν ἀνάγκης αὐτὸν

Demetrius deliberat cum Polybio.

Non sequitur consilium Polybii.

[i] Abest μὴ a Bav. [k] ἐντυχεῖν correxit Ursin. ἐντυχὼν Bav. [l] ἐστέρηκε adscivi ex Bav. Vulgo ἐστέρησε.

Lysias miserat, Romam venissent, et multa disseruissent, quo probarent, cædis ejus conscios non fuisse regis amicos; senatus contemtim audivit legatos, neque de ea re quidquam respondit, quia mentem suam prodere omnino nolebat. At *Demetrius* hoc nuncio perculsus, Polybium arcessit, et cum eo deliberat, deberetne iterum de suis rebus cum patribus agere. *Polybius* Demetrium monuit, *caveret ad eumdem lapidem bis offendere;* *quin potius spes suas in seipso poneret, auderetque aliquid regno dignum: multas enim ipsi præsentem rerum statum occasiones exhibere.* Demetrius animadverso, quo hoc consilium spectaret, in præsentia verbum non dicere: at non multo post de iisdem rebus cum Apollonio ex familiarium numero communicare. Is, ut bonus homo et admodum juvenis, iterum explorandam voluntatem senatus censebat: neque enim dubitare se, quoniam sine caussa regno eum patres spoliassent, quin necessitatem certe manendi Romæ pro obside forent illi remissuri. Rem enim esse penitus absurdam, quum in regno Syriæ Antiochus successisset, obsidem fidei illius Demetrium retineri. Hujus oratione persuasus *Demetrius*, iterum in curiam venit, et *ut saltem necessitate liberaretur manendi Romæ pro obside*, orat, *quando re-*

ἀπολύειν, ἐπεὶ τὴν βασιλείαν ἔκριναν Ἀντιόχῳ συγ- A. U. 592.
10 κατασκευάζειν. Καὶ πλείω δὲ πρὸς ταύτην τὴν ὑπό-
θεσιν αὐτοῦ διαλεχθέντος, ἔμεινεν ἡ σύγκλητος ἐπὶ τῆς
11 αὐτῆς αἱρέσεως· ὅπερ εἰκὸς ἦν. καὶ γὰρ πρότερον οὐ
διὰ τὸ μὴ λέγειν τὰ δίκαια τὸν Δημήτριον ἔκρινεν τὴν
ἀρχὴν τῷ παιδὶ συνδιαφυλάσσειν, ἀλλὰ διὰ τὸ [m]συμ-
12 φέρειν τοῖς σφετέροις πράγμασιν. μενόντων δὲ τῶν ὅλων
ἐπὶ τῆς αὐτῆς διαθέσεως, μένειν εἰκὸς ἦν καὶ τὴν τῆς
συγκλήτου διάληψιν ἐπὶ τῆς αὐτῆς προαιρέσεως.

XX. Πλὴν ὅ γε Δημήτριος, μάτην [n]ἐξάσας τὸ
κύκνειον, καὶ γνοὺς, ὅτι καλῶς αὐτῷ συνεβούλευεν ὁ
2 Πολύβιος, μὴ δὶς πρὸς τὸν αὐτὸν λίθον πταίειν· μετα-
μεληθεὶς ἐπὶ τοῖς γεγονόσι, ἅμα δὲ καὶ φύσει μεγα-
λόφρων ὑπάρχων, καὶ τόλμαν ἱκανὴν ἔχων πρὸς τὸ
κριθὲν, εὐθέως ἐκάλει Διόδωρον, προσφάτως ἐκ τῆς
Συρίας παραγεγονότα, καὶ μετεδίδου περὶ τῶν καθ'
3 αὑτόν. Ὁ δὲ Διόδωρος τροφεὺς μὲν ἐγεγόνει τοῦ Diodorus, educator Demetrii.
Δημητρίου· πανοῦργος δ' ὢν, καὶ κατωπτευκὼς ἐπι-
4 μελῶς τὰ κατὰ τὴν Συρίαν, ὑπεδείκνυεν αὐτῷ· διότι,
τῶν μὲν ἐκεῖ τεταραγμένων διὰ τὸν Γναΐου [o]φόνον, καὶ
[p]διαπιστούντων τῶν μὲν πολλῶν τοῖς περὶ τὸν Λυσίαν,
τῶν δὲ περὶ τὸν Λυσίαν τοῖς πολλοῖς, τῆς δὲ συγκλήτου
πεπεισμένης ἐκ τῶν τοῦ βασιλέως φίλων γεγονέναι τὴν

[m] Sic Bav. Vulgo συμφέρον, nescio an ex Ursini ing. [n] ἐξάσας ex conject. scripsi. ἐξανίσας est in codd. quod in ἐξηχήσας mutavit Ursinus. [o] φόνον correxit Gronov. ex versione Casaub. φόβον edit. Urs. et Casaub. cum MStis. [p] διαπιστούντων correxi, monente Gronov. Vulgo διαπιστευόντων.

gnum Antiocho firmassent. In hanc mentem quum plura etiam Demetrius dixisset, nihilominus tamen in sententia senatus mansit: quod et consentaneum erat. Nam et antea regnum puero conservandum decreverat, non quia injusta esset Demetrii oratio; sed quia ita reipublicæ expediret. Quum igitur status rerum idem maneret; rationi consentaneum erat, ut et senatus sententia in eodem proposito maneret.

XX. Ceterum *Demetrius,* frustra edito cygneo cantu, postquam experientia magistra cognovisset, rectum fuisse *Polybii* consilium, monentis ne ad eumdem lapidem bis offenderet; pœnitentia ductus sui facti, quum præsertim magni vir animi esset, et satis audaciæ haberet ad exsequendum quod semel statuisset, *Diodorum* ad se vocat, qui recens e Syria venerat, deque suis rebus cum eo deliberat. Fuerat hic Diodorus Demetrii educator, homo vafer, qui, Syriæ statu adcurate perspecto, edocuit illum, *rebus ibi turbatis propter Cnæi cædem, quum neque populi Lysiæ fiderent, neque Lysias populis, et senatus crederet, fraude aulicorum regis suos legatos fuisse viola-*

Ol. 154. 2. εἰς τοὺς σφετέρους πρεσβευτὰς παρανομίαν, κάλλιστον εἶναι καιρὸν ἐπιφανῆναι τοῖς πράγμασι. Ταχέως γὰρ 5 τοὺς μὲν ἐκεῖ μεταῤῥίψειν τὴν βασιλείαν εἰς αὐτὸν, κἂν ὅλως μετὰ παιδὸς ἑνὸς ποιήσηται τὴν παρουσίαν· τὴν δὲ σύγκλητον οὐ τολμήσειν ἔτι βοηθήσειν, οὐδὲ [q]συνεπισχύσειν τοῖς περὶ τὸν Λυσίαν, τοιαῦτα διεργασαμένοις. Λοιπὸν εἶναι, τὸ λαθεῖν ἐκ τῆς Ῥώμης 6 [r]ἀπελθόντας, καὶ μηδένα λαβεῖν ἔννοιαν τῆς ἐπιβολῆς

Polybius

αὐτοῦ. Δοξάντων δὲ τούτων, μετεπέμπετο τὸν Πολύ- 7 βιον, καὶ δηλώσας τὰ δεδογμένα, παρεκάλει συνεπιλαβέσθαι τῆς ἐπιβολῆς, καὶ συνδιανοηθῆναι, πῶς ἂν

Menyllus legatus Ptolemæi senioris,

χειρισθείη τὰ κατὰ τὸν δρασμόν. Συνέβαινε δὲ κατὰ 8 τὸν καιρὸν τοῦτον, Μένυλλον μὲν τὸν Ἀλαβανδέα παρεῖναι πρεσβεύοντα παρὰ τοῦ [s]πρεσβύτου βασιλέως Πτολεμαίου, χάριν τοῦ συγκαταστῆναι καὶ δικαιολογηθῆναι πρὸς τὸν νεώτερον Πτολεμαῖον· ἐτύγχανε δὲ προϋπάρχουσα τῷ Πολυβίῳ πρὸς τὸν Μένυλλον ἰσχυρὰ συνήθεια καὶ πίστις. διὸ καὶ, νομίσας αὐτὸν ἐπιτήδειον 9 εἶναι πρὸς τὴν ἐνεστῶσαν χρείαν, συνέστησε τῷ Δημη-

adjuvat Demetrium.

τρίῳ μετὰ μεγάλης σπουδῆς καὶ φιλοτιμίας. Ὁ δὲ 10 κοινωνήσας τῆς ἐπιβολῆς, ἀνεδέξατο, τήν τε ναῦν [t]ἑτοιμάσαι, καὶ τἄλλα πρὸς τὸν πλοῦν ἀπαρτιεῖν. Οὗτος 11 μὲν οὖν εὑρὼν ἐν τῷ στόματι τοῦ Τιβέριος ὁρμοῦσαν

[q] συνεπισχύειν Bav. [r] ἀπελθόντα malim. [s] Sic MSti πρεσβυτέρου quod vulgo habent, ingenio Ursini debetur. [t] ἑτοιμάσαι recepi ex Bav. Vulgo ἑτοιμάσας.

tos, opportunissimum esse tempus ad aliquid moliendum, ut in ipso regno repente hominibus sese ostenderet. Statim enim Syros regnum fore in ipsum translaturos, si vel uno puero comitatus venisset: neque ausurum senatum puero regi opem ferre, neque potentiam Lysiæ, a quo tantum scelus admissum, suis viribus stabiliturum. Superesse nunc illam curam, ut Roma insciis omnibus discederet, priusquam de ejus consilio ulla suspicio cuiquam oboriretur. Hoc consilio probato, Demetrius *Polybium* ad se vocat, quid pararet significat, orat, vellet se in hoc incepto ire adjutum, et una secum deliberare, qua ratione posset evadere. Forte illo tempore aderat Romæ *Menyllus* Alabandensis, missus a seniore Ptolemæo, ut patrocinium caussæ ipsius ageret apud patres, et adversus juniorem Ptolemæum certamen pro illo susciperet. Huic Menyllo arcta familiaritas et necessitudo cum Polybio intercedebat: qui ratus aptissimum eum esse ad hoc ministerium obeundum, quanto maximo poterat studio illum Demetrio commendavit. Is igitur particeps consilii factus, et navem, et quæcumque ad iter forent necessaria, paraturum se recepit. Ac quum in ostio Tiberis Carthaginiensem navem inve-

Καρχηδονίαν ναῦν ἱεραγωγὸν, ταύτην ἐναυλώσατο. A. U. 592.
12 Συμβαίνει δὲ, τὰ πλοῖα ταῦτα [u]κατ' ἐκλογὴν λαμ-
βάνεσθαι ἐκ τῆς Καρχηδόνος, ἐφ' οἷς εἰς τὴν Τύρον
ἐκπέμπουσιν οἱ Καρχηδόνιοι τὰς πατρίους ἀπαρχὰς τοῖς
θεοῖς· ἐναυλοῦτο δὲ φανερῶς εἰς τὴν ἰδίαν ἀνακομιδήν.
13 διὸ καὶ τήν τε τῶν ἐπιμηνίων παρασκευὴν ἀνυπόπτως
ἐποιεῖτο, καὶ φανερῶς ἐλάλει, καὶ συνέταττε τοῖς ναυτι-
κοῖς.

XXI. [x]Ἐπειδὴ δὲ πάντ' ἦν ἕτοιμα τῷ ναυκλήρῳ, καὶ
λοιπὸν ἔδει τὸν Δημήτριον ἀπαρτίζειν τὰ καθ' αὑτόν·
τὸν τροφέα προαπέστειλεν εἰς τὴν Συρίαν, ὠτακουστή-
σοντα καὶ κατοπτεύσοντα τὰ ἐκεῖ [y]συμβαίνοντα περὶ
2 τοὺς ὄχλους. Ὁ δὲ σύντροφος Ἀπολλώνιος ἐξ ἀρχῆς Apollonius, Apollonii fil.
αὐτῷ μετεῖχε τῆς ἐπιβολῆς· δυοῖν δ' ὑπαρχόντων [z]ἀδελ-
φοῖν, Μελεάγρου καὶ Μενεσθέως, τούτοις [a]ἐκοινωνήσατο
τὴν πρᾶξιν, ἄλλῳ δ' οὐδενὶ τῶν μετ' αὐτοῦ, καί τοι
3 πλειόνων ὄντων. οὗτοι δ' ἦσαν Ἀπολλωνίου κατὰ φύσιν
υἱοὶ, τοῦ μεγάλην μὲν εὐκαιρίαν [b]ἔχοντος παρὰ Σε-
λεύκῳ, μεταστάντος δὲ κατὰ τὴν Ἀντιόχου μετάληψιν
4 τῆς ἀρχῆς εἰς Μίλητον. Τῆς δὲ συνταχθείσης ἡμέρας Fugam parat Demetrius.
πρὸς τοὺς ναυτικοὺς συνεγγιζούσης, ἔδει γενέσθαι παρά
5 τινι τῶν φίλων ὑποδοχὴν πρὸς τὴν ἔξοδον. παρὰ γὰρ

[u] Inverso ordine λαμβ. κατ' ἐκλογὴν Bav. [x] Sic Bav. Vulgo Ἐπεὶ δ' ἦν πάντα ἕτοιμα. [y] συμβάντα Bav. [z] ἀδελφῶν Bav. [a] ἐκοινωνήσατο dedit Bav. Vulgo ἐκοινωνήσαντο. [b] σχόντος voluit Reisk.

nisset ex earum numero quibus sacra deferuntur, hanc ad vecturam conducit. Solent autem cum cura hæ naves deligi Carthagine, ad deferendas Tyrum primitias, quas illuc Carthaginienses diis patriis mittunt. Conduxit autem palam ad reditum suum. Idcirco etiam commeatus sine cujusquam suspicione adparabat, et cum nautis in oculis omnium colloquebatur, et tempus constituebat.

XXI. Postquam nauclerus omnia parata habuit, et nihil jam restabat, nisi ut Demetrius ad iter se compararet; suum illum educatorem in Syriam præmisit, qui omnes ibi rumusculos colligeret, et, quis populorum esset sensus, exploraret. *Apollonius* vero, qui educatus cum ipso fuerat, hujus incepti jam a principio conscius fuerat: cui quum duo essent fratres, Meleager et Menestheus, cum his pariter rem communicavit Demetrius, neque cum alio quoquam ex familiaribus, quamquam multi erant. Fratres istos *Apollonius* ille genuerat, qui plurimum gratia apud Seleucum valuerat, deinde, ubi ad Antiochum regnum fuit translatum, Miletum ex aula migravit. Postquam constituta cum nautis dies venit, ut exiret urbe Demetrius, apud quemdam ex amicis convivium celebraturus erat: nam in hospitio quidem suo cœnare non poterat,

Ol. 154. 2. αὐτῷ ποιεῖν τὸ δεῖπνον οὐχ οἷόν τ' ἦν, εἴθιστο γὰρ
ἐπιμελῶς καλεῖν ἅπαντας τοὺς περὶ αὐτὸν ὄντας. Οἱ 6
δὲ συνειδότες τὴν πρᾶξιν, ἔμελλον ἐξ οἴκου δειπνήσαντες
ἐπὶ τὸ πλοῖον ἥξειν, ἔχοντες ἕνα παῖδα μεθ' ἑαυτῶν
ἕκαστος, τοὺς γὰρ λοιποὺς ἀπεστάλκεισαν εἰς Ἀνα-
Polybius æger. γνείας, κατὰ τὴν ἐπιοῦσαν αὐτοὶ παρεπόμενοι. Τὸν δὲ 7
Πολύβιον συνέβαινε κατὰ τὸν καιρὸν τοῦτον ἠσθενηκότα
μένειν κατακλινῆ, εἰδέναι δὲ πάντα τὰ πραττόμενα,
τοῦ Μενύλλου συνεχῶς αὐτῷ μεταδιδόντος ἀεὶ περὶ τῶν
ὑποπιπτόντων. Διόπερ ἀγωνιάσας ὁ προειρημένος, μὴ, 8
Demetrius bibax. τῆς [c] συνηθείας ἑλκυσθείσης, ἅτε τοῦ Δημητρίου συμ-
ποτικοῦ φυσικῶς καὶ νεωτέρου τελέως ὑπάρχοντος, ἀπό-
ρημά τι γένηται περὶ τὴν ἔξοδον διὰ τὴν μέθην· γράψας 9
βραχὺ [d] πιττάκιον καὶ σφραγισάμενος, πέμπει παρ'
αὐτοῦ παῖδα, συσκοτάζοντος ἄρτι τοῦ θεοῦ, συντάξας,
ἐκκαλεσάμενον τὸν οἰνοχόον τοῦ Δημητρίου δοῦναι τὸ
πιττάκιον, μηδὲν εἰπόντα, τίς ἢ παρὰ τίνος, καὶ κελεύειν
ἀποδιδόναι τῷ Δημητρίῳ, ὡς παραχρῆμα διαναγνῶναι.
Γενομένων δὲ πάντων κατὰ τὸ συνταχθὲν, λαβὼν ὁ 10
Monita Polybii. Δημήτριος ἐπανέγνω. Τὸ δὲ πιττάκιον περιεῖχε τὰς 11
γνώμας ταύτας.

Ὁ δρῶν, τὰ τοῦ μέλλοντος οἴχεται φέρων.
Ἶσον φέρει νύξ· τοῖς δὲ τολμῶσι πλέον. 12

[c] An συνουσίας? [d] πιττάκιον h. l. et deinceps restituit Casaub. πινάκιον Ursinus invitis MStis.

quod esset illi consuetudo, quam diligenter servaverat, omnes qui circa ipsum erant invitare. Deinde, qui conscii erant arcani, cœnatione egressi, navim recta cum singulis quisque pueris petere debebant: nam reliquos *Anagniam* miserant, tamquam eodem postridie et ipsi essent ituri. Accidit autem, ut quum hæc gererentur, æger *Polybius* in lectulo decumberet; quem tamen nihil eorum, quæ fiebant, fugiebat, quum Menyllus, ut quidque novi acciderat, de singulis continuo eum moneret. Is igitur vehementer sollicitus, ne, quia Demetrius natura sua conviviis plurimum gaudebat, et juvenis admodum tunc erat, extracta in tempus longius compotatione, exeundi consilium propter temulentiam aliquo modo impeditum hæreret; brevi pittacio conscripto atque obsignato, puerum e suis, quum jam tenebresceret, mittit, eique mandat, ut, pincerna Demetrii foras vocato, pittacium illi traderet, non addito, quis ipse esset, aut a quo mitteretur; juberetque, Demetrio id extemplo legendum dari. Factum est plane uti jusserat, et *Demetrius* acceptum pittacium legit. In In eo hæ gnomæ erant descriptæ.

Gnavus cunctatori spes suas præripit.
Æque utrisque commoda nox; sed magis favet audentibus.

13 Τόλμα τι, κινδύνευε, πρᾶττ', ἀποτύγχανε, A. U. 592.
Ἐπίτυχε· πάντα μᾶλλον, ἢ σαυτὸν πρόου.
14 Νῆφε, καὶ μέμνησ' ἀπιστεῖν· ἄρθρα ταῦτα τῶν φρενῶν.

XXII. Ταῦτα διαναγνοὺς ὁ Δημήτριος, καὶ συννοήσας τὰς ὑποθέσεις, καὶ τίνες, καὶ παρὰ τίνος εἰσὶ, παραυτίκα προσποιηθεὶς ὡς ἐπιναύσιος γεγονὼς, ἀπηλ-
2 λάττετο, [c]συμπροπεσόντων αὐτῷ καὶ τῶν φίλων. παραγενόμενος δ' [f]ἐπὶ σκηνὴν, τοὺς μὲν ἀνεπιτηδείους τῶν οἰκετῶν ἐξέπεμψεν εἰς τὰς Ἀναγνείας, συντάξας, λαβόντας τὰ λῖνα καὶ τοὺς κύνας ἀπαντᾷν ἐπὶ τὸ Κίρ-
3 καιον· ἐκεῖ γὰρ ἐπιμελῶς εἰώθει κυνηγετεῖν [g]τὸν ὗν· ἐξ οὗ καὶ τῆς πρὸς τὸν Πολύβιον αὐτῷ συνηθείας τὴν
4 καταρχὴν γενέσθαι συνέπεσε. Μετὰ δὲ ταῦτα τοῖς περὶ τὸν Νικάνορα διεσάφει τὴν ἐπιβολὴν, καὶ κοινωνεῖν
5 παρεκάλει τῶν αὐτῶν ἐλπίδων. Πάντων δὲ προθύμως δεξαμένων τὸν λόγον, παρήγγειλε κατὰ σπουδὴν, [h]ἐπανελθόντας ἐπὶ τὰς ἰδίας καταλύσεις, τοῖς μὲν παισὶ [i]συντάττειν, προάγειν ὑπὸ τὴν ἑωθινὴν εἰς τὰς Ἀναγνείας, καὶ μετὰ τῶν κυνηγῶν ἀπαντᾷν εἰς τὸ Κίρκαιον·
6 [k]αὐτοὺς δὲ λαβόντας ἐσθῆτας τὰς ὁδοιπορικὰς ἀνακάμπτειν ὡς αὐτὸν, εἰπόντας τοῖς οἰκέταις, ὅτι μετὰ τοῦ Δημητρίου συμμίξουσιν αὐτοῖς κατὰ τὴν ἐπιοῦσαν
7 ἐπὶ τὸν προειρημένον τόπον. Γενομένων δὲ πάντων καθὼς

Venatum exire se simulat Demetrius.

[c] συμπροσπεμπόντων αὐτῷ Bav. [f] Putaveram ἐπ' οἴκου vel ἐπ' οἶκον. [g] τὸν ὗν ex conject. scripsi. τὸν υἱὸν MSS. Hinc τὸ πρὶν edd. ex Ursini conject. μετὰ τῶν φίλων suspicatus est Reisk. [h] ἰλθόντας Bav. [i] συντάττειν correxit Urs. συνέταξε MSti. [k] Et hunc locum ex certa conject. restituit Ursin. sed superest etiam nunc in posterioribus erratum: nam aut τὰς ἐσθῆτας τὰς ὁδοιπορ. scribendum, aut quod malimus, ἐσθῆτας ὁδοιπορικὰς *absque articulo.*

Aude, periclitare, age quid. Sive succedat propositum,
sive minus; omnia prius, quam te deseras.
Sobrius esto, nemini fidem habendam memento; hi sunt nervi prudentiæ.

XXII. His lectis *Demetrius*, cognito, et quo hæc præcepta spectarent, et a quo sibi mitterentur, extemplo nauseabundum se simulans, convivio excessit, amicis simul cum eo egredientibus. In hospitium ut ventum, famulos ad illud iter minus aptos *Anagniam* proficisci jubet, mandatque illis, ut cum retibus ac canibus venaticis ad *Circæum* montem sibi occurrerent, ubi studiose solitus erat aprum venari; unde etiam contigerat, ut Polybium propius noscendi occasio primum ei daretur. Secundum hæc Nicanori, quod destinabat, aperit, atque illos hortatur, ut eorumdem consiliorum secum velint esse participes. Quum operam prolixe omnes pollicerentur: monuit eos, ut domum suam quisque celeriter repeterent, et famulis imperarent, ut mane orto Anagniam proficiscerentur, et cum venatoribus ad *Circæum* sibi occurrerent; ipsi interim viatoriis sumtis vestibus ad se redirent, famulisque dicerent, postridie ejus diei in illum quem diximus locum ad se venirent, ibi enim cum Demetrio sese fu-

Ol. 151. 2.

Ostiæ conscendit navem.

προσείρηται, προῆγον εἰς τὴν Ὠστίαν νυκτὸς ἐπὶ τὸ
στόμα τοῦ Τιβέριος. Ὁ δὲ Μένυλλος προπορευόμενος 8
ἐκοινολογεῖτο τοῖς ναυτικοῖς, φάσκων, αὐτῷ προσπε-
πτωκέναι παρὰ τοῦ βασιλέως, [l] διὸ δέον ἐστὶν αὐτὸν μὲν
μένειν κατὰ τὸ παρὸν ἐν τῇ Ῥώμῃ, τῶν δὲ νεανίσκων
τοὺς [m] πιστοτάτους ἐκπέμψαι πρὸς αὐτὸν, παρ' ὧν
ἐπιγνώσεται πάντα τὰ κατὰ τὸν ἀδελφόν. διόπερ αὐτὸς 9
μὲν οὐκ ἔφησεν ἐμβαίνειν, τοὺς δὲ νεανίσκους ἥξειν περὶ
μέσας νύκτας τοὺς μέλλοντας πλεῖν. Τῶν δὲ ναυ- 10
κλήρων ἀδιαφορούντων, διὰ τὸ μένειν αὐτοῖς τὸ ταχθὲν
ναῦλον ἐξ ἀρχῆς, καὶ πάντα κατηρτικότων ἐκ πολλοῦ
τὰ πρὸς τὸν πλοῦν· παρῆσαν οἱ περὶ τὸν Δημήτριον 11
κατὰ τρίτην φυλακὴν λήγουσαν, ὄντες ὀκτὼ, καὶ παῖδες
πέντε, καὶ παιδάρια τρία. τοῦ δὲ Μενύλλου κοινολο- 12
γηθέντος αὐτοῖς, καὶ παραδείξαντος τὴν τῶν ἐπιμηνίων
παρασκευὴν, ἔτι δὲ συστήσαντος τῷ ναυκλήρῳ καὶ τοῖς
ἐπιβάταις ἐκτενῶς, οὗτοι μὲν ἐπέβησαν· ὁ δὲ κυβερνήτης, 13
ἄρτι [n] διαφώσκοντος, ἄρας τὰς ἀγκύρας, ἐτέλει τὸν
πλοῦν ἁπλῶς, οὐδεμίαν ἔννοιαν ἔχων τοῦ πράγματος,
ἀλλ' ὡς στρατιώτας τινὰς ἄγων παρὰ τοῦ Μενύλλου
πρὸς τὸν Πτολεμαῖον.

Sero comperta fuga.

XXIII. Ἐν δὲ τῇ Ῥώμῃ κατὰ τὴν ἐπιοῦσαν οὐδεὶς ἐπιζητήσειν ἔμελλε τὸν Δημήτριον, οὐδὲ τοὺς μετ' ἐκεί-

[l] Forte διότι δέον, nisi ad προσπεπτωκ. adjiciamus τι. [m] πιστοτάτους correxi cum Reisk. δυσπιστοτάτους MSti, quod in εὐπιστοτάτους mutavit Ursin. Forsan δύο τοὺς πιστοτ. debuerat. [n] διαφώσκοντος correxit Urs. διαφάσκοντος MSti, ex quo et διαφαύσκοντος poterat effici.

turos. Postquam omnia essent administrata, ut mandaverat, noctu *Ostiam* ad ostium Tiberis progreditur. Interea *Menyllus* præcedit illos, et nautis significat, novi aliquid a rege se accepisse, cujus gratia oporteat, ut ipse quidem in urbe adhuc hæreret; sed juvenes probatissimæ fidei ad illum mitteret, qui de fratre omnia ei sint renunciaturi. Propterea se quidem navim non conscensurum, verum eos juvenes, qui iter sint confecturi, circa mediam noctem esse venturos. Nauclerus, cui de constituta ab initio mercede nihil propterea deperibat, omnia dudum parata habens ad solvendum, id se non curare ostendit. Interea exeunte tertia vigilia adest *Demetrius* cum suis comitibus, ii autem erant omnino octo, cum famulis quinque et junioribus pueris tribus. Deinde ubi cum his locutus esset *Menyllus*, et præparatum commeatum illis ostendisset, quum etiam nauclero et vectoribus eos studio magno commendasset, navem conscenderunt. Gubernator, simul illuxit, ancoras tollere, et navigationi simpliciter se accingere, ut qui de eo quod erat gestum nihil cogitaret, sed tamquam milites quosdam a Menyllo ad Ptolemæum deveheret.

XXIII. Romæ vero postridie illius diei nemini in mentem venit, ut De-

ινου προάγοντας. Οἱ μὲν γὰρ αὐτοῦ μένοντες ὡς ἐπὶ τὸ Κίρκαιον ὡρμηκότα διελάμβανον· οἱ δὲ ἐν ταῖς Ἀναγνείαις ἀπήντων ἐπὶ τὸν αὐτὸν τόπον, ὡς ἐκεῖ παρεσο-
3 μένου. δι' ὃ συνέβαινε τελέως ἄσημον εἶναι τὸν δρασμόν· ἕως οὗ τῶν παίδων τις, μεμαστιγωμένος ἐν ταῖς Ἀναγνείαις, ἀπαντῶν [o]ἐπὶ τὸν αὐτὸν τόπον, ἔδραμεν ἐπὶ τὸ
4 Κίρκαιον, ὡς ἐκεῖ τῷ Δημητρίῳ συμμίξων· οὐχ ὁρῶν δὲ, πάλιν εἰς τὴν Ῥώμην ἔτρεχεν, ὡς κατὰ πορείαν
5 ἀπαντήσων. οὐδαμῇ δὲ συντυχὼν αὐτῷ, τοῦτο διεσάφησε τοῖς ἐν Ῥώμῃ φίλοις, καὶ τοῖς καταλελειμμένοις
6 ἐπὶ τῆς οἰκίας. Ἐπιζητουμένου δὲ τοῦ Δημητρίου κατὰ τὴν τετάρτην ἡμέραν, ἀφ' ἧς ὥρμησεν, ὑπενοήθη τὸ γεγο-
7 νός. Τῇ δὲ πέμπτῃ [p]ἡ σύγκλητος εὐθέως συνήγετο περὶ τούτων, ἐν ᾗ συνέβαινε, τὸν Δημήτριον [q]ἐκτὸς ἤδη τοῦ
8 πορθμοῦ τοῦ κατὰ Σικελίαν ὑπάρχειν. τὸ μὲν οὖν διώκειν ἀπέγνωσαν, ἅμα μὲν ὑπολαμβάνοντες αὐτὸν πολὺ προειληφέναι κατὰ τὸν πλοῦν, καὶ γὰρ ἔσχε φορὸν ἄνεμον, ἅμα δὲ προορώμενοι τὸ βουληθέντες κωλύσειν
9 ἀδυνατῆσαι· πρεσβευτὰς δὲ κατέστησαν μετά τινας ἡμέρας τοὺς περὶ Τιβέριον Γράκχον, καὶ Λεύκιον Λέν- Legatos in Asiam decernit senatus.
10 τλον, καὶ Σερουΐλιον Γλαυκίαν· οἵ τινες ἔμελλον πρῶτον μὲν [r]ἐποπτεύσειν τὰ κατὰ τοὺς Ἕλληνας, ὅθεν ἐπιβαλ-

[o] Verba ἀπαντῶν ἐπὶ τὸν αὐτὸν τόπον ex superioribus per errorem repetita videntur. [p] Articulum ex conject. adjeci. [q] Sic correxi. ἐκτίον Bav. nescio an et cod. Ursini. Unde ἐκταῖον edidit Ursin. et deinde ἐπὶ τοῦ πορθμοῦ, præpositione ex ing. adjecta. [r] ἐποπτεύειν Bav.

metrium aut eos, qui cum ipso erant egressi, inquireret. Nam qui ibi remanserant, Circæum rebantur ipsum esse profectum: qui erant Anagniæ, eodem se contulerunt, tamquam ibi eum reperturi. Itaque prorsus evasio illius ex urbe latuit; donec aliquis puerorum, qui Anagniam ad dictum locum venerant, flagris cæsus, Circæum curriculo petiit, ut Demetrium ibi conveniret: quo non invento, Romam iterum adcurrit, ratus in itinere se illi occursurum. Tum autem, quum nusquam Demetrium offendisset, amicis, qui Romæ erant, et iis, quos domi Demetrius reliquerat, rem declaravit. Itaque, postquam die quarto a discessu quæsitus esset Demetrius, oborta est quædam hominibus suspicio ejus, quod gestum erat. Die quinto senatus statim ea de re est habitus, cum quidem Demetrius jam ultra fretum Siculum navigatione pervenerat. Itaque persequendum patres non duxerunt, quod persuasum haberent, multum jam itineris esse ab eo confectum, secundo enim vento navigabat; simulque cogitarent, si vellent eum impedire, in sua potestate non futurum. Post paucos deinde dies *Tiberium Gracchum*, *Lucium Lentulum*, et *Servilium Glauciam*, legatos decreverunt, qui res

Ol. 154. 2. λοντες ἐπὶ τὴν Ἀσίαν, τά τε κατὰ τὸν Δημήτριον
καραδοκήσειν, καὶ τὰς τῶν ἄλλων βασιλέων προαιρέσεις
ἐξετάσειν, καὶ τὰ πρὸς τοὺς Γαλάτας ἀντιλεγόμενα
τοῖς προειρημένοις διευκρινήσειν. Διὸ τὸν Τιβέριον κατ- 11
εστήσαντο πάντων αὐτόπτην γεγονέναι. Καὶ τὰ μὲν 12
κατὰ τὴν Ἰταλίαν ἐν τούτοις ἦν.

* * *

Demetrius in Lycia? Ὁ δὲ Δημήτριος, προσανέχων τῇ παρουσίᾳ τοῦ 13
[s] διαποστολησομένου πρὸς αὐτὸν, * *.

(III.) Cato queritur de Luxu Romanorum.

* * *

XXIV. [t] Κάτων, ὡς Πολύβιος ἱστορεῖ ἐν τῇ πρώτῃ καὶ τριακοστῇ τῶν Ἱστοριῶν, ἐδυσχέραινε, καὶ ἐπεκράγει, ὅτι τινὲς τὰς ξενικὰς τρυφὰς εἰσήγαγον εἰς τὴν Ῥώμην· τριακοσίων μὲν δραχμῶν κεράμιον ταρίχων Ποντικῶν 2
ὠνησάμενοι, μειράκια δ' εὔμορφα ὑπερβαλλούσης ἀγρῶν τιμῆς.

[s] διαποστολησομένου correxit Casaub. Vulgo apud Suidam editur διαποστολησαμένου. [t] De hoc Fragm. conf. lib. XXXII. cap. XI. v. 5.

in *Græcia* inspicerent, deinde *in Asiam* transgressi, quid moliretur Demetrius, observarent, animos item ceterorum regum explorarent, et controversias eorum cum Gallogræcis disceptarent. Hæc omnia Tiberius præsens cognoscere jussus est a patribus. Et *in* ITALIA quidem ista tum gerebantur.

* * *

Demetrius vero, exspectans adventum ejus, qui ad ipsum mittendus erat, * *.

(III.) *Athenæus Lib. VI. cap.* 21.

* * *

XXIV. CATO (ut POLYBIUS tradit *Libro XXXI Historiarum*) indignatus querebatur, quod *luxus peregrinus a nonnullis Romam esset inlatus, salsamenti Pontici cadum drachmis trecentis ementibus, formosumque adolescentulum majori quam agrum pretio.*

II. In Ægypto et Cyrene.

A. U. 592.

Fratres Ptolemæi, *Philometor et Physcon, litigant de Cypri imperio.*

* * *

XXV. Μετὰ δὲ ταῦτα Πτολεμαῖος ὁ νεώτερος, πα- Cyprum petit Ptol. Physcon.
ραγενόμενος εἰς τὴν Ἑλλάδα μετὰ τῶν πρεσβευτῶν,
2 συνήθροιζε ξενολόγιον ἐμβριθές· ἐν οἷς προσελάβετο καὶ
Δαμάσιππον τὸν Μακεδόνα, ὃς κατασφάξας ἐν τῷ
Φακῷ τοὺς συνέδρους, ἔφυγε μετὰ γυναικὸς καὶ τέκνων
3 ἐκ τῆς Μακεδονίας. Ἀφικόμενος δὲ εἰς τὴν τῶν Ῥοδίων
Περαίαν, καὶ ξενισθεὶς ὑπὸ τοῦ δήμου, προετίθετο πλεῖν
4 εἰς τὴν Κύπρον. Οἱ δὲ περὶ τὸν Τορκουάτον, θεωροῦντες T. Torquatus legatus.
αὐτὸν συνεσταμένον ξενικὴν χεῖρα βαρεῖαν, ὑπεμίμνη-
σκον τῶν ἐντολῶν, διότι δεῖ χωρὶς πολέμου ποιεῖσθαι τὴν
5 κάθοδον· καὶ τέλος ἔπεισαν αὐτὸν ἕως Σίδης [u] προαγα-
γόντες, τὸ ξενολόγιον διαλύσασθαι, καὶ τῆς εἰς Κύπρον
ἐπιβολῆς ἀποστῆναι, καὶ συμμίσγειν αὐτοῖς ἐπὶ τοὺς
6 τῶν Κυρηναίων ὅρους. Αὐτοὶ δὲ πλεύσαντες εἰς τὴν
Ἀλεξάνδρειαν, ἔφασαν παραστήσεσθαι τὸν βασιλέα
πρὸς τὰ παρακαλούμενα, καὶ συναντήσειν ἐπὶ τοὺς
7 ὅρους, ἔχοντες κἀκεῖνον μεθ᾽ αὐτῶν. Τούτοις μὲν οὖν
τοῖς λόγοις πεισθεὶς ὁ νεώτερος Πτολεμαῖος, ἀπογνοὺς

[u] προαγαγόντες correxi. προσαγαγόντες MSti. προσαγαγόντα edd. ex Ursini ing.

II. *Legatio CXV.*

* * *

XXV. Secundum hæc Ptolemæus *junior* cum Romanis legatis in Græciam venit, ibique strenuorum adprime militum manum conduxit: inter quos etiam *Damasippum* Macedonem assumsit, qui post jugulatos *Phaci* [quod Macedoniæ est oppidum] publici concilii consessores, cum uxore et liberis e Macedonia aufugerat. Rex quum in oppositam Rhodiis continentem, Peræam dicunt, venisset, a populo exceptus hospitio, Cyprum navigare constituit. Torquatus ceterique legati ut vident, magnam mercenariorum militum vim ab eo coactam, patrum mandata in memoriam revocaverunt, quibus sine armis eum reducere jubebantur. Tandem, postquam Sidam usque progressi erant, persuadere ei conati sunt, ut *missos faceret mercenarios, et ab adeunda Cypro abstineret, polliceretur que, in Cyrenaicæ confinibus ad colloquium cum illis se conventurum.* Ipsi interim legati *Alexandriam se profecturos* aiebant, *et regis voluntatem ad ea, quæ ab ipso poscebantur, inclinaturos; tum ad fines Cyrenaicæ ei occursuros, ipsumque regem secum adducturos.* Flexit hæc oratio *juniorem Ptolemæum*, effecitque, ut, Cypri occupa-

[illegible] τὰ κατὰ τὴν Κύπρον, τὸ μὲν ξενολόγιον διέλυσεν· αὐτὸς 8 δὲ τὸ μὲν πρῶτον εἰς Κρήτην ἀπέπλευσεν, τόν τε Δαμάσιππον ἔχων μεθ' ἑαυτοῦ, καὶ τῶν πρεσβευτῶν ἕνα Γνάϊον Μερόλαν· ξενολογήσας δ' ἐκ τῆς Κρήτης περὶ χιλίους στρατιώτας, ἀνήχθη, καὶ διάρας εἰς τὴν [x] Λιβύην, κατέσχεν ἐπὶ τὸν Ἄπιν.

Cn. Merula, legatus.

XXVI. Οἱ δὲ [y] περὶ τὸν Τορκουάτον, διακομισθέντες εἰς τὴν Ἀλεξάνδρειαν, ἐπειρῶντο μὲν παρακαλεῖν τὸν πρεσβύτερον Πτολεμαῖον διαλύεσθαι πρὸς τὸν ἀδελφὸν καὶ συγχωρεῖν αὐτῷ τὴν Κύπρον. Τοῦ δὲ Πτολεμαίου 2 τὰ μὲν ἐπαγγελλομένου, τὰ δὲ παρακούοντος, καὶ τῷ τοιούτῳ τρόπῳ κατατρίβοντος τὸν χρόνον· στρατοπε- 3 δεύων ὁ νεώτερος μετὰ τῶν Κρητῶν ἐν τῇ [z] Λιβύῃ περὶ τὸν Ἄπιν κατὰ τὸ συντεταγμένον, καὶ τελέως ἀσχάλλων ἐπὶ τῷ μηδὲν διασαφήσασθαι, τὸ μὲν πρῶτον ἐξαπέστειλε τὸν Γνάϊον εἰς τὴν Ἀλεξάνδρειαν, ὡς διὰ τούτου καὶ [a] τῶν περὶ τὸν Τορκουάτον ἐπιγενομένων. Συνε- 4 ξομοιωθέντος δὲ τούτου τοῖς πρότερον, καὶ τοῦ χρόνου διελκομένου, καὶ τετταράκοντα διελθουσῶν ἡμερῶν, καὶ μηδενὸς προσπίπτοντος, εἰς ἀπορίαν ἐνέπιπτε περὶ τῶν ὅλων. Ὁ γὰρ πρεσβύτερος βασιλεὺς [b] πᾶν γένος ἀρε- 5 σκείας προσφερόμενος, πάντας ἐξιδιάσατο τοὺς πρεσ-

Cypro cedere non vult Philometor.

Physcon ad Apim in Libya.

[x] Λιβύην correxi cum Reisk. Vulgo Λιβύνην edd. et MSti. [y] Vulgo omnes περὶ τὸν Τορκουάτον καὶ τὸν Τῖτον. Ferri posset τὸν Τῖτον absque conjunctione; sed totum adsumentum delendum censui. [z] Rursus vulgo omnes Λιβύνῃ. [a] τοὺς περὶ Τορκ. Bav. non male, si sequeretur ἐπιγενομένους. [b] πᾶν γένος ex Reiskii conject. adscivi. Vulgo παραγενόμενος.

tionem omittens, conductitium militem dimitteret. Itaque primum in Cretam navigavit, Damasippum secum habens, et unum e legatis *Cn. Merulam:* dein, quum milites mille in Creta conduxisset, inde profectus, in Libyam trajecit, et ad *Apim* portum tenuit.

XXVI. *Torquatus* interim, Alexandriam delatus, persuadere conatus est *seniori Ptolemæo,* ut redire in gratiam cum fratre vellet, eique Cyprum concederet. Sed Ptolemæo partim pollicente, partim audire nolente, atque hoc modo tempus extrahente; junior fratrum, castris in Libya ad Apim positis, ut convenerat, ægerrime ferens, nihil sibi nunciari, primo Cnæum Alexandriam misit, sperans, per hunc se effecturum, ut Torquatus pariter cum reliquis adveniret. Sed quum hic ad illorum exemplum, qui prius Alexandriam erant profecti, sese conformaret, atque ita tempus in longum extraheretur, jamque adeo dies quadraginta præteriissent, nec ullus interim nuncius esset adlatus; de summa rerum dubitare cœpit. Etenim major fratrum, omni genere blanditiarum usus, legatos sibi conciliaverat, et apud

ζευτὰς, καὶ παρακατέσχε τὸ πλεῖον οὐχ ἑκόντας, ἀλλὰ A. C. 162.
6 ἄκοντας. Κατὰ δὲ τὸν καιρὸν τοῦτον προσέπεσε τῷ νεωτέρῳ Πτολεμαίῳ, τούς τε Κυρηναίους ἀφεστάναι, καὶ τὰς πόλεις συμφρονεῖν τούτοις, κεκοινωνηκέναι δὲ περὶ τῆς ἀποστάσεως καὶ Πτολεμαῖον τὸν [c] Συμπετῆσιν·
7 ὃς ἦν τὸ γένος Αἰγύπτιος, ἐπιστεύθη δὲ τὴν ἐπιμέλειαν τῶν ὅλων ὑπὸ τοῦ βασιλέως, καθ' ὃν καιρὸν ἐποιεῖτο τὸν
8 πλοῦν εἰς τὴν Ῥώμην. Τούτων δὲ προσπιπτόντων τῷ βασιλεῖ, καὶ μετ' ὀλίγον, διότι στρατοπεδεύουσιν ἐν τοῖς ὑπαίθροις οἱ Κυρηναῖοι, δείσας, μὴ, βουλόμενος προσλαβεῖν τὴν Κύπρον, καὶ τὴν Κυρήνην ἀπολέσῃ· πάντα τἄλλα πάρεργα θέμενος, ἀνέζευξεν ἐπὶ Κυρήνης.
9 Παραγενόμενος δ' εἰς τὸν Μέγαν καλούμενον Καταβαθμὸν, κατέλαβε τοὺς [d] Λίβυας, μετὰ τῶν Κυρηναίων
10 κατέχοντας τὰς δυσχωρίας. Ὁ δὲ Πτολεμαῖος, ἀπορούμενος ἐπὶ τῷ συμβαίνοντι, τοὺς μὲν ἡμίσεις τῶν στρατιωτῶν ἐμβιβάσας εἰς τὰ πλοῖα, περιπλεῖν τὰς δυσχωρίας ἐπέταξε, καὶ [e] κατανοεῖν τοῦ τοῖς πολεμίοις ἐπιφαίνεσθαι· τοὺς δ' ἡμίσεις ἔχων αὐτὸς ἐβιάζετο
11 κατὰ στόμα πρὸς τὴν ἀνάβασιν. Τῶν δὲ [d] Λιβύων καταπλαγέντων τὴν ἐξ ἀμφοῖν ἔφοδον, καὶ λιπόντων τοὺς τόπους, ἅμα τῆς ἀναβάσεως ἐγένετο κύριος, καὶ τῆς ὑποκειμένης Τετραπυργίας, ἐν ᾗ συνέβαινε πλῆθος

Desciscunt ab eo Cyrenæi.

Catabathmus magnus.

Tetrapyrgia.

4 ὑπάρχειν αὐτῷ κατὰ τὴν οὐσίαν τὸν Φάβιον. Γενομένου δὲ τούτου περιβοήτου, προσέθηκεν ἕτερον τούτῳ
5 δεῖγμα τῆς αὑτοῦ προαιρέσεως ἐμφανέστερον. Βουλομένου γὰρ τἀδελφοῦ μονομαχίας ἐπὶ τῷ πατρὶ ποιεῖν, οὐ δυναμένου δὲ δέξασθαι τὴν δαπάνην διὰ τὸ πλῆθος τῶν ἀναλισκομένων χρημάτων· καὶ ταύτης τὴν ἡμίσειαν
6 εἰσήνεγκεν ὁ Σκιπίων ἐκ τῆς ἰδίας οὐσίας. ἔστι δ' οὐκ Sumtus muneris gladiatorii.
ἐλάττων ἡ σύμπασα τριάκοντα ταλάντων, ἐάν τις
7 μεγαλομερῶς ποιῇ. [t] * φήμης περὶ αὐτοῦ διδομένης,

[s] μὲν ex conject. adjecit Vales. pariterque pronomen αὐτοῦ post διαδόχους.
[t] Exciderunt verba λαμπρᾶς δὲ, aut similia. Mox legend. διαδιδομ. aut διαδεδομένης.

rent, rogabat. Quibus auditis, *Tiberius et Nasica* taciti domum reversi sunt; et Scipionis magnitudine animi stupefacti, et suam nimis adtentam diligentiam damnantes, tametsi inter civitatis principes essent.

XIV. *Mortuo* deinde post biennium naturali patre *L. Æmilio*, ipse cum fratre *Fabio* heres relictus, præclarum facinus ac memoria dignum gessit. Nam L. Æmilius cum absque liberis esset, propterea quod ipsi quidem in alias familias adoptione migraverant, ceteri vero, quos heredes familiæ sacrorum et nominis sui alebat, sato prærepti omnes erant, hereditatem illis reliquerat. At *Scipio*, cum fratrem suum videret re familiari minus quam se instructum, universam hereditatem, quæ amplius sexaginta talentis æstimabatur, fratri concessit; eo consilio, ut sic Fabius opibus ipsi æqualis fieret. Quod factum cum in ore omnium versaretur, aliud etiam apertius animi sui specimen adjecit. Cum enim *Fabius* gladiatores in funere patris edere vellet, neque eum sumtum ob magnitudinem adparatus facile posset sustinere, *Scipio* dimidiam impensæ partem de suo est largitus. Hujusmodi vero impensa, si quis magnifice spectacula edere velit, non

Ol. 154. 4. Liberalitas in sorores.

μετήλλαξεν ἡ μήτηρ. Ὁ δὲ τοσοῦτον ἀπέσχετο τοῦ 8
κομίσασθαι ὧν πρότερον ἐδωρήσατο, περὶ ὧν ἀρτίως
εἶπον, ὥστε καὶ ταῦτα καὶ τὴν λοιπὴν οὐσίαν τὴν τῆς
μητρὸς ἅπασαν ἀπέδωκε ταῖς ἀδελφαῖς, ἧς οὐδὲν αὐταῖς
προσῆκε κατὰ τοὺς νόμους. διὸ πάλιν τῶν ἀδελφῶν 9
παραλαβουσῶν τὸν ἐν ταῖς ἐξόδοις κόσμον καὶ τὴν
περίστασιν τὴν τῆς Αἰμιλίας, πάλιν ἐκαινοποιήθη τὸ
μεγαλόψυχον καὶ φιλοίκειον τῆς τοῦ Σκιπίωνος προαι-
ρέσεως. Ταῦτα μὲν οὖν προκατεσκευασμένος ἐκ τῆς 10
πρώτης ἡλικίας Πόπλιος Σκιπίων, προῆλθε πρὸς τὸ
φιλοδοξεῖν σωφροσύνῃ καὶ καλοκἀγαθίᾳ. εἰς ἣν ἴσως 11
ἑξήκοντα τάλαντα δαπανήσας, τοσαῦτα γὰρ ἦν προεί-
μενος τῶν ἰδίων, ὁμολογουμένην ἔσχε τὴν ἐπὶ καλοκἀ-
γαθίᾳ φήμην· οὐχ οὕτω τῷ πλήθει τῶν χρημάτων τὸ
[u] προκείμενον κατεργασάμενος, ὡς τῷ καιρῷ τῆς δόσεως

Continentia Scipionis.

καὶ τῷ χειρισμῷ τῆς χάριτος. Τὴν δὲ σωφροσύνην 12
περιεποιήσατο, δαπανήσας μὲν οὐδέν· πολλῶν δὲ καὶ
ποικίλων ἡδονῶν ἀποσχόμενος, προσεκέρδανε τὴν σωμα-
τικὴν ὑγείαν καὶ τὴν εὐεξίαν· ἥ τις αὐτῷ παρ' ὅλον 13
τὸν βίον παρεπομένη, πολλὰς ἡδονὰς καὶ καλὰς ἀμοι-
βὰς ἀπέδωκεν, ἀνθ' ὧν πρότερον ἀπέσχετο τῶν προχείρων
ἡδονῶν.

Fortitudinis exercitatio.

XV. Λοιποῦ δ' ὄντος τοῦ κατὰ τὴν ἀνδρείαν, καὶ κυριωτάτου σχεδὸν ἐν πάσῃ μὲν πολιτείᾳ, μάλιστα δ'

[u] προκείμενον correxi cum Reisk. Vulgo παρακείμενον.

minor triginta talentis solet esse. Pervulgata hujus rei fama, *mater Scipionis* paullo post decessit: ex cujus bonis ille ea, quæ olim donaverat, de quibus superius dixi, non modo non recepit, sed et ea omnia et universam matris hereditatem sororibus remisit, tametsi nulla pars hereditatis legibus ad eas pertineret. Proinde cum Scipionis sorores rursus cum ornatu paratuque Æmiliæ in solennibus matronarum pompis procederent, iterum ejus in suos benevolentia ac magnitudo animi in memoriam famamque revocata est. His igitur ab ineunte ætate studiis usus Scipio, modestiæ et elegantiæ laudem est consecutus. Et impensis quidem sexaginta talentis, tantum enim de suo largitus est, *elegantiæ* apud omnes gloriam comparavit, magis ex opportunitate ac dexteritate in conferenda gratia, quam ex pecuniæ magnitudine. *Modestiæ* vero et *continentiæ* laudem retulit absque ullo quidem sumtu: sed, multis variisque repressis cupiditatibus, lucrifecit præterea optimam firmissimamque corporis valetudinem; qua per totum vitæ spatium continua usus, amplissimam mercedem abstinentiæ suæ atque honestissimas cepit voluptates.

xv. Jam quum reliquæ essent *Fortitudinis* partes, præcipuæ illæ quidem cum in omni republica, tum vero præ-

ἐν τῇ Ῥώμῃ· μεγίστην ἔδει καὶ τὴν ἄσκησιν περὶ τοῦτο A. U. 591.
2 τὸ μέρος ποιήσασθαι. Καλὸν μὲν οὖν τι πρὸς ταύτην
τὴν ἐπιβολὴν αὐτοῦ καὶ διὰ τῆς τύχης ἐγένετο συνέρ-
3 γημα. Τῶν γὰρ ἐν Μακεδονίᾳ [x]βασιλικῶν μεγίστην Venatio.
ποιουμένων σπουδὴν περὶ τὰς κυνηγεσίας, καὶ Μακε-
δόνων ἀνεικότων τοὺς ἐπιτηδειοτάτους τόπους πρὸς τὴν
4 τῶν θηρίων συναγωγήν· ταῦτα συνέβη τὰ χωρία τετη-
ρῆσθαι μὲν ἐπιμελῶς, καθάπερ καὶ πρότερον, πάντα τὸν
τοῦ πολέμου χρόνον, κεκυνηγῆσθαι δὲ μηδέποτε τῶν
τεττάρων [y]ἐτῶν διὰ τοὺς περισπασμούς· ἦ καὶ θηρίων
5 ὑπῆρχε πλήρη παντοδαπῶν. Τοῦ δὲ πολέμου λαβόντος
κρίσιν, ὁ Λεύκιος, καλλίστην ὑπολαμβάνων καὶ τὴν
ἄσκησιν καὶ τὴν ψυχαγωγίαν ὑπάρχειν τοῖς νέοις τὴν
περὶ τὰ κυνηγέσια, τούς τε κυνηγοὺς συνέστησε τοὺς
βασιλικοὺς τῷ Σκιπίωνι, καὶ τὴν ἐξουσίαν τὴν περὶ τὰ
6 κυνηγέσια παρέδωκε τούτῳ πᾶσαν. ἧς ἐπιλαβόμενος ὁ
προειρημένος, καὶ νομίσας οἱονεὶ βασιλεύειν, ἐν τούτῳ
κατεγίγνετο πάντα τὸν χρόνον, ὅσον ἐπέμεινε τὸ στρατό-
7 πεδον μετὰ τὴν μάχην ἐν τῇ Μακεδονίᾳ. γενομένης δὲ
μεγάλης ἐξουσίας περὶ τοῦτο τὸ μέρος, ὥστε, κατὰ τὴν
ἡλικίαν ἀκμαίως ἔχοντος αὐτοῦ, καὶ κατὰ φύσιν οἰκείως
διακειμένου, καθάπερ εὐγενοῦς σκύλακος ἐπίμονον αὐτοῦ
8 συνέβη γενέσθαι τὴν περὶ τὰς κυνηγεσίας [z]ὁρμήν· διὸ
καὶ, παραγενόμενος εἰς τὴν Ῥώμην, καὶ προσλαβὼν τὸν

[x] βεβασιλευκότων suspicatus est Reisk. βασιλέων Diodor. [y] διὰ τῶν τεττ. ex conject. ediderat Vales. [z] Post ὁρμήν vulgo majorem ponunt distinctionem. Probarem, nisi incommodaret præcedens particula ὥστε.

sertim Romæ; præcipua quadam in eo genere exercitatione opus erat. Ad quod studium maximam illi opportunitatem etiam fortuna obtulit. Nam cum Macedonum reges *venationi* plurimum studerent, solitique essent Macedones loca ad feras congregandas aptissima huic usui dicare; hujusmodi septa toto quidem belli Persici tempore eadem, qua prius cura, fuerant custodita; ceterum per quatuor continuos annos intacta atque illibata ab omni venatu permanserant, rege aliis negotiis tum maxime distracto: quocirca ferarum omnis generis erant plenissima. Confecto autem bello, L. Æmilius eam exercitationem ac voluptatem, quæ est in *venando*, convenientissimam juventuti ratus esse, et venatores regios conciliavit Scipioni, et omnem venandi licentiam ei concessit. Qua ille accepta, rex propemodum sibi esse visus, totum illud tempus, quo legiones post victoriam in Macedonia perstiterunt, in eo consumsit. Cumque et amplissima ei facultas suppeteret, et ipse ætate cum maxime floreret, et natura in eam rem esset propensior, tamquam generosi catuli constantior ejus ac diuturnior in venando impetus fuit. Quamobrem Romam postquam venit, adjun-

Ol. 154. 4. Polybius venationis socius Scipioni.

τοῦ Πολυβίου πρὸς τοῦτο τὸ μέρος ἐνθουσιασμὸν, ἐφ'
ὅσον οἱ λοιποὶ τῶν νέων περὶ τὰς κρίσεις καὶ τοὺς
χαιρετισμοὺς ἐσπούδαζον, κατὰ τὴν ἀγορὰν ποιούμενοι
τὴν διατριβὴν, καὶ διὰ τούτων συνιστάνειν ἑαυτοὺς ἐπει-
ρῶντο τοῖς πολλοῖς· ἐπὶ τοσοῦτον ὁ Σκιπίων, ἐπὶ ταῖς 9
κυνηγεσίαις ἀναστρεφόμενος, καὶ λαμπρὸν ἀεί τι ποιῶν
καὶ μνήμης ἄξιον, καλλίω δόξαν ἐξεφέρετο τῶν ἄλλων.
οἷς μὲν γὰρ οὐκ ἦν ἐπαίνου τυχεῖν, εἰ μὴ βλάψαιέν 10
τινα τῶν πολιτῶν· ὁ γὰρ τῶν κρίσεων τρόπος τοῦτ'
ἐπιφέρειν εἴωθεν. ὁ δ', ἁπλῶς οὐδένα λυπῶν, ἐξεφέρετο 11
τὴν ἐπ' ἀνδρείᾳ δόξαν πάνδημον, ἔργῳ πρὸς λόγον ἁμιλ-
λώμενος. Τοιγαροῦν ὀλίγῳ χρόνῳ τοσοῦτον παρέδραμε 12
τοὺς καθ' αὑτὸν, ὅσον οὐδεὶς πω μνημονεύεται Ῥωμαίων,
καίπερ τὴν ἐναντίαν ὁδὸν πορευθεὶς ἐν [a]φιλοξενίᾳ τοῖς
ἄλλοις ἅπασι πρὸς τὰ Ῥωμαίων ἔθη καὶ νόμιμα.

XVI. Ἐγὼ δὲ πλείω πεποίημαι λόγον ὑπὲρ τῆς Σκι-
πίωνος αἱρέσεως ἐκ τῆς πρώτης ἡλικίας, [b]ἡδεῖαν μὲν
ὑπολαμβάνων εἶναι τοῖς πρεσβυτέροις, ὠφέλιμον δὲ τοῖς
νέοις τὴν τοιαύτην ἱστορίαν· μάλιστα δὲ, βουλόμενος 2
πίστιν παρασκευάζειν τοῖς μέλλουσι λέγεσθαι ἐν ταῖς
ἑξῆς βίβλοις περὶ αὐτοῦ, πρὸς τὸ μήτε διαπορεῖν τοὺς
ἀκούοντας διὰ τὸ παράδοξόν τι φανήσεσθαι τῶν συμβαι-
νόντων [c]μετὰ ταῦτα περὶ αὐτὸν, μήτ' ἀφαιρουμένους 3

[a] φιλοδοξίᾳ suspicatus et interpretatus est Vales. [b] ἡδεῖαν correxit Vales. ἰδίᾳ cod. Peir. [c] μετὰ δὲ ταῦτα dabat codex. μετά γε ταῦτα Vales. ex conject. Delevi conjunctionem cum Reiskio.

cto *Polybii* in ea parte studio atque ardore; quantum temporis in judiciis ac salutationibus reliqui juvenes conterebant, forum adsidue prementes, eoque studentes commendare se multitudini; tantum *Scipio* venationibus impendens, atque interim præclarum aliquid et ad memoriam insigne agere numquam desistens, præstantiorem ceteris gloriam est adeptus. Illis enim sine alicujus civis damno laus contingere non poterat; quippe judiciorum ordo et natura id ferre solet: at vero ille, nemini molestiam facessens, *fortitudinis* laudem sibi apud omnes comparavit, virtute atque insignibus factis cum fama ipsa contendens. Proinde brevi inter æquales suos tantum enituit, quantum superiori memoria Romæ nemo; idque, cum plane contrarium moribus institutisque Romanorum ad laudem et gloriam cursum tenuisset.

XVI. Ego vero, quæ *studia Scipionis in adolescentia* fuerint, ideo pluribus enarrare volui, quod et senioribus jucundam, et utilem juventuti, harum rerum cognitionem fore arbitratus sum: eoque potissimum consilio, ut iis, quæ de illo viro deinceps sum dicturus, fidem præmunirem; ne sorte, qui hæc legent, ob magnitudinem novitatemque eorum, quæ huic viro contigerunt, in ambiguo hæreant; neve

τἀνδρὸς [d]τὰ κατὰ λόγον γεγονότα κατορθώματα τῇ A. U. [illegible]
τύχῃ προσάπτειν, ἀγνοοῦντας τὰς αἰτίας, ἐξ ὧν ἕκαστα
συνέβη γενέσθαι, πλὴν τελέως ὀλίγων, ἃ δεῖ [e]μόνα
4 προσάπτειν τῇ τύχῃ καὶ ταὐτομάτῳ. Ταῦτα μὲν οὖν
ἐπὶ τοσοῦτον ἡμεῖς διεληλυθότες κατὰ τὴν παρέκβασιν,
αὖθις ἐπάνιμεν ἐπὶ τὴν ἐκτροπὴν τῆς ὑποκειμένης διηγήσεως.

III.

RES ANNI URBIS DXCV?

Legatio Achæorum et Atheniensium Romam.

* * *

Ol. 155, 1. A. U. 595. Delii in Achaiam migrant.

XVII. ΠΑΡΑ τῶν Ἀθηναίων ἧκον πρέσβεις καὶ παρὰ
τῶν Ἀχαιῶν, οἱ περὶ Θεαρίδαν καὶ Στέφανον, ὑπὲρ τῶν
2 [f]ῥυσίων. Τοῖς γὰρ Δηλίοις [g]διαδοθείσης ἀποκρίσεως
παρὰ Ῥωμαίων, μετὰ τὸ συγχωρηθῆναι τὴν Δῆλον τοῖς
Ἀθηναίοις, [h]αὐτοῖς μὲν ἐκχωρεῖν ἐκ τῆς νήσου, τὰ δ'
3 ὑπάρχοντα κομίζεσθαι· μεταστάντες εἰς Ἀχαΐαν οἱ
Δήλιοι, καὶ πολιτογραφηθέντες, ἐβούλοντο τὸ δίκαιον
[i]ἐκλαβεῖν παρὰ τῶν Ἀθηναίων, κατὰ τὸ πρὸς τοὺς
4 Ἀχαιοὺς σύμβολον. Τῶν δ' Ἀθηναίων φασκόντων,
μηδὲν εἶναι πρὸς αὐτοὺς τῆς δικαιοδοσίας ταύτης,

Res repetunt ab Atheniensibus.

[d] Articulum ex conject. adjeci cum Reisk. [e] μόνη voluit Reisk. [f] ῥυσίων ex Bav. recepi. ῥοδίων in suo cod. fuisse ait Ursin. quod ille in Δηλίων mutavit. [g] διαδοθείσης nescio an Ursino debeatur. διασωθείσης Bav. [h] Omnino legendum videtur ἐξεῖναι αὐτοῖς μὲν ἐκχωρεῖν. [i] ἐκλαβεῖν correxi. Vulgo ἐκεῖ λαβεῖν.

de rebus illius certo consilio gestis detrahentes, fortunæ illas tribuant, cum caussas ignorabunt, ex quibus singulæ res sunt profectæ, præter admodum paucas, quas solas casui ac fortunæ adsignare licet. Atque his obiter, quasi per excursum, commemoratis, nunc in viam redimus, ex qua narratio nostra divertit.

III.

Legatio CXXIII.

* * *

XVII. VENERUNT Romam legati ab *Atheniensibus* et ab *Achæis, Stephani* et *Thearidæ*, vindiciarum caussa, [quas adversus Athenienses postulabant Delii.] Nam *Delii*, post acceptum a Romanis responsum, quo, permissa Atheniensibus Delo, cedere quidem illis insula jubebantur, sed ita ut sua omnia asportarent, in Achaiam commigraverant: et civium numero ab Achæis adscripti, voluerunt ibi jus repetere ab Atheniensibus ex formula juris, quod Achæis cum Atheniensibus intercedebat. Quum vero dicerent Athenienses, nihil ad Delios pertinere illam juris formulam, postularunt ab Achæis Delii, ut sibi ab Atheniensibus *pignora per vim ca-*

Ol. 155. 1. ἠτοῦντο ῥύσια τοὺς Ἀχαιοὺς οἱ Δήλιοι κατὰ τῶν
Ἀθηναίων. Ὑπὲρ ὧν τότε πρεσβεύσαντες, ἔλαβον ἀπό- 5
κρισιν, κυρίας εἶναι τὰς κατὰ τοὺς νόμους γεγενημένας
παρὰ τοῖς Ἀχαιοῖς οἰκονομίας περὶ τῶν Δηλίων.

IV.

ANNO DXCVI.

Issensium et Daorsorum legatio Romam missa.

Ol. 155. 2. A. U. 596.

* * *

Queruntur de Dalmatis. XVIII. ΤΩΝ [i]Ἰσσίων [καὶ τῶν [k]Δαορσῶν] πλεονάκις
[l]πεπρεσβευκότων εἰς τὴν Ῥώμην, καὶ διασαφούντων, ὅτι
Δελματεῖς τὴν χώραν ἀδικοῦσι, καὶ τὰς πόλεις τὰς μετ᾽
αὐτῶν ταττομένας· αὗται δέ εἰσιν Ἐπέτιον καὶ [m]Τρα- 2
γύριον· ὁμοίως δὲ καὶ τῶν Δαορσῶν ἐγκαλούντων· ἐξα- 3
πέστειλεν ἡ σύγκλητος πρεσβευτὰς τοὺς περὶ Γάϊον
C. Fannius, legatus. Φάννιον, ἐποπτεύσοντας τὰ κατὰ τὴν Ἰλλυρίδα, καὶ
Dalmatæ. μάλιστα τούτων τὰ κατὰ τοὺς [n]Δελματεῖς. Οὗτοι 4
δὲ, μέχρι μὲν ἔζη Πλεύρατος, ὑπήκουον ἐκείνῳ· μεταλ-
λάξαντος δὲ τούτου τὸν βίον, καὶ διαδεξαμένου Γενθίου
τὴν βασιλείαν, ἀποστάντες ἀπὸ τούτου, τοῖς ὁμόροις
προσεπολέμουν, καὶ κατεστρέφοντο τοὺς ἀστυγείτονας,

[i] Mendose MSti Νισσίων, quod perperam vulgo in Λισσίων mutarunt. [k] Δαορσῶν correxit Casaub. Δαοσσῶν h. l. et v. 2. dant MSti. Sed tria verba, καὶ τῶν Δαορσῶν, quæ uncis inclusi, iniquo loco stant v. I. [l] πεπρεσβευκότων ex conject. correxi. Vulgo παραπρεσβευσάντων, quod ex Ursini ing. esse videtur. παραπρεσβευκότων (sic) Bav. [m] Τραγύριον correxit Ursin. Τραγύλιον MSti. [n] Δαλματεῖς h. l. Bav.

pere liceret. De his rebus quum hi legati venissent, responsum tulerunt, *rata habere senatum ea, quæ in caussa Deliorum legitime ordinata essent ab Achæis.*

IV.

Legatio CXXIV.

* * *

XVIII. POSTEAQUAM *Issii* [et Daorsi] sæpius legatos Romam misissent, quibus significabant, *Dalmatas agros et urbes suæ ditionis infestare:* hæ autem sunt *Epetium* et *Tragurium:* cumque similiter et *Daorsi* de iisdem quererentur: senatus legatum misit *Caium Fannium* ad res *Illyrici* visendas, et maxime Dalmatarum. Hic populus, quamdiu vixit *Pleuratus*, ei paruit: post obitum vero illius quum in regno *Genthius* successisset, ab illo defecerant *Dalmatæ*, et bella cum finitimis gerebant, vicinosque populos imperio suo subjiciebant, ita ut eorum

ὧν ἔνιοι καὶ φόρους αὐτοῖς ἔφερον. ὁ δὲ φόρος ἦν θρέμ- A. U. 596
5 ματα καὶ σῖτος. Καὶ οἱ μὲν περὶ Φάννιον [o]ἐπὶ τούτοις ἐξώρμησαν.

V.

RES GESTÆ ANNO URBIS DXCVII.

I. Romæ.

(I.) *Dalmatis bellum indicunt Romani.*

* * * Ol. 155. 3. A. U. 597.

XIX. ΤΩΝ περὶ τὸν Γάϊον Φάννιον παραγεγονότων ἐκ τῆς Ἰλλυρίδος, καὶ διασαφούντων, ὅτι τοσοῦτον ἀπέχοιεν οἱ Δελματεῖς τοῦ διορθοῦσθαί τι τῶν ἐγκαλουμένων πρὸς τοὺς ὑπ' αὐτῶν φάσκοντας ἀδικεῖσθαι [p]συνεχῶς, ὥστε οὐδὲ λόγον [q]ἐπιδέχοιντο καθόλου παρ' αὐτῶν, λέγοντες, Fannius male acceptus a Dalmatis.
2 οὐδὲν αὐτοῖς εἶναι καὶ Ῥωμαίοις κοινόν. πρὸς δὲ τούτοις διεσάφουν, μὴ κατάλυμα δοθῆναι σφίσι, μήτε παροχήν· ἀλλὰ καὶ τοὺς ἵππους, οὓς εἶχον παρ' ἑτέρας πόλεως,
3 ἀφελέσθαι τοὺς Δελματεῖς μετὰ βίας αὐτῶν· ἑτοίμους δ' εἶναι καὶ τὰς χεῖρας προσάγειν, εἰ μὴ, συνείξαντες τῷ καιρῷ, μετὰ πολλῆς ἡσυχίας ἐποιήσαντο τὴν ἀπό-
4 λυσιν. Ὧν ἡ σύγκλητος ἀκούσασα μετ' ἐπιστάσεως, ἠγανάκτει μὲν καὶ ἐπὶ τῇ τῶν Δελματέων ἀπειθείᾳ καὶ σκαιότητι· τὸ δὲ πλεῖστον, ὑπέλαβε τὸν καιρὸν Bellum indicitur Dalmatis.

[o] ἐπὶ τούτους suspicatus est Reisk. [p] *Abest hæc Ecloga a cod. Bav.*
[q] συνεχῶς correxit Urs. et ὥστε ex conject. adjecit. συνεχεῖς οὐδὲ λόγον erat in MS.
[r] ἐπιδέχοιντο voluit Reisk.

nonnulli etiam tributa ipsis penderent. Tributum autem erat pecus et frumentum. Atque hæc legationis Fannii caussa fuit.

V.

(I.) *Legatio CXXV.*

* * *

XIX. QUUM ex *Illyrico* reversus *C. Fannius* renunciasset senatui, *tantum abesse Dalmatas, ut satisfacere iis, quos continuis injuriis lacessiverant, ullo modo vellent, ut ne aures quidem sibi præbere sustinuissent, quod dicerent, nihil sibi commune esse cum Romanis:* ostendissetque præterea, *neque hospitii factam legatis copiam, neque aliud quidquam eorum, quæ necessaria sunt, fuisse præbitum; quin et equos per vim ipsis ademtos esse, quos habuerant ex alia urbe, atque etiam manus ipsis inferre eos voluisse, nisi tempori cedentes cum magno silentio eorum finibus excessissent:* his diligenter auditis, senatus, etsi offendebatur contumaci et scævo Dalmatarum ingenio, magis tamen eo movebatur, quod multas ob caussas

Ol. 155. 3. ἐπιτήδειον εἶναι πρὸς τὸ πολεμῆσαι τοῖς προειρημένοις
διὰ πλείους αἰτίας. Τά τε γὰρ μέρη ταῦτα τῆς 5
Ἰλλυρίδος τὰ νεύοντα πρὸς τὸν Ἀδρίαν, ἀνεπίσκεπτα
τελέως ἦν αὐτοῖς, ἐξ οὗ Δημήτριον τὸν Φάριον ἐξέβαλον·
τούς τε κατὰ τὴν Ἰταλίαν ἀνθρώπους οὐκ ἐβούλοντο 6
κατ' οὐδένα τρόπον [r]ἀπόλλυσθαι διὰ τὴν πολυχρόνιον
εἰρήνην. ἔτος γὰρ ἦν τότε δωδέκατον ἀπὸ τοῦ πρὸς 7
Περσέα πολέμου, καὶ τῶν ἐν Μακεδονίᾳ πράξεων.
Διόπερ ἐβουλεύοντο, πόλεμον ἐνστησάμενοι πρὸς τοὺς 8
προειρημένους, ἅμα μὲν ὡσανεὶ καινοποιῆσαι τὰς ὁρμὰς
καὶ προθυμίας τῶν ἰδίων ὄχλων, ἅμα δὲ καταπληξάμενοι τοὺς Ἰλλυριοὺς ἀναγκάσαι πειθαρχεῖν τοῖς ὑπ'
αὐτῶν παραγγελλομένοις. Αὗται μὲν οὖν ἦσαν αἱ 9
αἰτίαι, δι' ἃς ἐπολέμησαν Ῥωμαῖοι Δελματεῦσι· τοῖς
γε μὴν ἐκτὸς [s]* τὸν πόλεμον ἀναδεικνύειν, ὡς διὰ τὴν
εἰς τοὺς πρεσβευτὰς ὕβριν κεκρικότες πολεμεῖν.

(II.) ARIARATHES, *ab Oroferne ope Demetrii regno pulsus, Romam venit.*

* * *

Ariarathes. XX. Ὁ βασιλεὺς Ἀριαράθης παρεγένετο εἰς τὴν
Ῥώμην, ἔτι θερείας οὔσης. τότε δὲ, παρειληφότων τὰς 2
Sex. Julius Cos. ἀρχὰς τῶν περὶ τὸν Σέξτον Ἰούλιον, ἐγίγνετο περὶ τὰς
κατ' ἰδίαν ἐντεύξεις, οἰκείαν ποιούμενος περικοπὴν καὶ

[r] ἀποθηλύνεσθαι suspicatus est idem.

[s] *Lacunam* notavit Casaub. et in vers. Lat. supplevit.

opportunum rebatur esse tempus belli cum gente illa gerendi. Nam Romani, ex quo Demetrium Pharium ejecerant, penitus eam partem *Illyrici*, quæ ad Adriaticum mare inclinat, neglexerant. Accedit, quod Italicos homines longa pace torpere omnino nolebant. Agebatur autem *duodecimus* jam *annus a bello cum Perseo* et Macedonibus gesto. Itaque bello adversus istos suscepto, simul renovare in suis, ut sic dicam, spiritum illum militarem et alacritatem pugnandi cupiebant, simulque terrorem Illyricis injicere, ut impetrata facere posthac cogerentur. Propter has caussas *Dalmatis bellum indixerunt:* sed apud externos hanc unam adferebant caussam, quod contumeliam legatis suis factam bello sibi persequendam judicassent.

(II.) *Legatio CXXVI.*

* * *

XX. Venit Romam rex *Ariarathes*, priusquam exiisset æstas. Et quum magistratum eo tempore iniisset *Sextus Julius* cum collega, ad illum adivit, convenientem calamitati, in qua versabatur, fortunam atque speciem

3 φαντασίαν τῆς ὑποκειμένης περιστάσεως. Παρῆσαν δὲ A. U. 597.
καὶ παρὰ Δημητρίου πρέσβεις οἱ περὶ τὸν Μιλτιάδην, Demetrii legati.
πρὸς ἑκατέραν τὴν ὑπόθεσιν ἡρμοσμένοι· καὶ γὰρ περὶ
Ἀριαράθου ἀπολογεῖσθαι, καὶ κατηγορεῖν αὐτοῦ παρε-
4 σκευάζοντο φιλαπεχθῶς. Ἀπεστάλκει δὲ καὶ [t] Ὀρο- Orofernes, rex Cappad.
φέρνης πρεσβευτὰς, τοὺς περὶ Τιμόθεον καὶ Διογένην,
στέφανόν τε κομίζοντας τῇ Ῥώμῃ, καὶ τὴν φιλίαν καὶ
τὴν συμμαχίαν ἀνανεωσομένους· τὸ δὲ πλεῖον συγκατα-
στησομένους τῷ Ἀριαράθῃ, καὶ τὰ μὲν ἀπολογησο-
5 μένους, τὰ δὲ κατηγορήσοντας. Ἐν μὲν οὖν ταῖς κατ'
ἰδίαν ἐντεύξεσιν μείζω φαντασίαν εἶχον οἱ περὶ τὸν
Διογένην καὶ Μιλτιάδην, ἅτε καὶ κατὰ τὸ πλῆθος
πρὸς ἕνα συγκρινόμενοι, καὶ κατὰ τὴν ἄλλην περικοπὴν
6 εὐτυχοῦντες, πρὸς ἐπταικότα θεωρούμενοι· παραπλησίως
δὲ καὶ περὶ τὴν τῶν πραγμάτων ἐξήγησιν πολὺ περι-
7 ῆσαν. πᾶν μὲν γὰρ καὶ πρὸς παντοῖα λέγειν ἐθάῤῥουν,
οὐδένα λόγον ποιούμενοι τῆς ἀληθείας· τὸ δὲ λεγόμενον
8 ἀνυπεύθυνον ἦν, οὐχ ἔχον τὸν ἀπολογησόμενον. Λοιπὸν
[u] ἀκονιτὶ τοῦ ψεύδους ἐπικρατοῦντος, ἐδόκει σφίσι τὰ
πράγματα κατὰ γνώμην χωρεῖν.

* *

9 Ὀροφέρνην, ὀλίγον χρόνον Καππαδοκίας βασιλεύ- Bacchicam lasciviam invehit Orofernes.
σαντα, καὶ παριδόντα τὰς πατρίους ἀγωγὰς, Πολύβιός

[t] Vulgo h. l. Ὀλοφέρνης. [u] ἀκονιτὶ correxi, ut aliâs. Vulgo ἀκοιντὶ.

præ se ferens. Venerat et *Demetrii* legatio, cujus princeps Miltiades, in utrumque paratus: nam et ad excusanda, quæ objiceret Ariarathes, instructus erat, et ad criminandum illum odiose. *Orofernes* quoque legatos miserat, Timotheum et Diogenem, ut coronam Romæ adferrent, et amicitiam atque societatem renovarent: ceterum præcipua legationis caussa erat, ut in judiciali contentione adversus Ariarathem starent, et partim ad ejus accusationem responderent, partim ipsum accusarent. Enimvero Diogenes et Miltiades cum in privatis congressibus speciem majorem ostentabant, utpote plures cum uno compositi, et præterea qui omnibus fortunæ rebus florentes spectarentur, ille adflictus et miser; tum vero etiam ubi ad res exponendas ventum, longe superiores fuerunt. Quidvis enim dicere, et ad omnia respondere, spreta veritate, audebant. Porro quæ ab illis dicebantur, ea nec confutata manebant, quia aderat nemo, qui veritatem tueretur. Quum igitur sine difficultate vinceret mendacium, visi sunt quod volebant efficere.

* *

(*Athenæus Lib.* X. *Cap.* 11.)

Orofernem, qui breve tempus in *Cappadocia* regnavit, *spretis patriis in-*

Ol. 153. 3. φησιν ἐν τῇ τριακοστῇ δευτέρᾳ, εἰσαγαγεῖν τὴν [x]ἰακὴν καὶ τεχνητικὴν ἀσωτίαν.

II. Status Græciæ, *præcipue* Epiri *post mortem* Charopis.

* * *

Obit Lyciscus Ætolus. XXI. Τὰ κατὰ τὴν Αἰτωλίαν καλῶς διετέθη, κατεσβεσμένης ἐν αὐτοῖς τῆς ἐμφυλίου στάσεως μετὰ τὸν

Mnasippus Bœotus. Λυκίσκου θάνατον. καὶ Μνασίππου τοῦ [y]Κορωναίου 2
μεταλλάξαντος τὸν βίον, βελτίων ἦν ἡ διάθεσις κατὰ

Chrematas Acarnan. τὴν Βοιωτίαν· ὁμοίως δὲ καὶ κατὰ τὴν Ἀκαρνανίαν, Χρεμάτα γεγονότος ἐκποδών. Σχεδὸν γὰρ ὡσανεὶ καθ- 3
αρμόν τινα συνέβη γενέσθαι τῆς Ἑλλάδος, τῶν ἀλιτη-

Charops Epirota. ρίων αὐτῆς ἐκ τοῦ ζῆν μεθισταμένων. Καὶ γὰρ καὶ τὸν 4
Ἠπειρώτην Χάροπα συνεκύρησε κατὰ τὸν ἐνιαυτὸν τοῦτον ἐν Βρεντεσίῳ μεταλλάξαι τὸν βίον. Τὰ δὲ κατὰ τὴν 5
Ἤπειρον ἔτι ἐν ἀκαταστασίαις ἦν καὶ ταραχαῖς, [z]καθ-

Charopis nequitia. άπερ τοῖς ἐπάνω χρόνοις, διὰ τὴν Χάροπος ὠμότητα καὶ παρανομίαν, ἐξ οὗ συνέβη τελεσθῆναι τὸν πρὸς Περσέα πόλεμον. [a]Μετὰ γὰρ τὸ κατακρῖναι Λεύκιον Ἀνίκιον 6
καὶ [b]τοὺς μὲν * τῶν ἐπιφανῶν ἀνδρῶν, τοὺς δὲ ἀπαγαγεῖν εἰς τὴν Ῥώμην, ὅσοι καὶ βραχεῖαν ὑποψίαν εἶχον·

[x] Fors. ἰακχικὴν, ut voluit Dalecamp. [y] Κορωναίου correxit Vales. Κυρωναίου erat in MS. [z] καθάπερ aberat a codice; ex conject. adjecit Valesius. Brevius erat ὡς. [a] Vulgo novæ veluti Eclogæ initium h. l. faciunt, his verbis Ὅτι μετὰ τὸ κατακρῖναι, quæ conjungenda cum superioribus putavi, inserta particula γάρ. [b] Post τοὺς μὲν *lacunæ signum* posui, et supplendum puto verbum ἀνελεῖν, θανατῶσαι, φυγαδεῦσαι, aut aliquod his simile.

stitutis, bacchicam quamdam et artificiosam invexisse lasciviam, scribit Polybius *Libro XXXII.*

II. *Excerptum Valesianum.*

* * *

XXI. *Ætolicæ* res recte sunt compositæ, extincto apud eos civili bello post obitum *Lycisci*. Similiter, mortuo *Mnasippo* Coronæo, *Bœotia* in meliore statu erat. Itemque *Acarnania*, sublato e vivis *Chremata*. Prorsus enim quædam quasi lustratio atque expiatio contigit tunc universæ Græciæ, pestibus reipublicæ e medio remotis. Namque et *Charops* ille Epirota hoc ipso anno Brundusii decessit. Sed *res* Epiri adhuc inquietæ erant ac turbatæ, ut antea, ob sævitiam atque nequitiam Charopis post victoriam de Perseo partam. Nam postquam *L. Anicius*, caussa cognita, viros celeberrimos condemnasset, alios vero ad caussam dicendam Romam abduxisset, quotquot vel levissima suspicione contingebantur;

7 τότε λαβὼν ὁ Χάροψ τὴν ἐξουσίαν, ὃ βούλοιτο, πράτ- A. U. 591.
τειν, οὐκ ἔστι τῶν δεινῶν ὁποῖον οὐκ ἐποίει, τὰ μὲν δι'
8 αὑτοῦ, τὰ δὲ διὰ τῶν φίλων· ἅτε νέος μὲν ὢν αὐτὸς
κομιδῇ, συνδεδραμηκότων δὲ πρὸς αὐτὸν τῶν χειρίστων
καὶ τῶν εἰκαιοτάτων ἀνθρώπων, διὰ τὸν ἐκ τῶν ἀλλο-
9 τρίων νοσφισμόν. εἶχε δὲ οἷον ἐφεδρείαν, καὶ ῥοπὴν πρὸς
τὸ πιστεύεσθαι διότι πράττει κατά τινα λόγον, ἃ ποιεῖ,
καὶ μετὰ τῆς Ῥωμαίων γνώμης, τήν τε προϋπάρχουσαν
αὐτῷ σύστασιν πρὸς τοὺς προειρημένους, καὶ πρὸς ταύτῃ Myrto et
Μύρτωνα πρεσβύτην ἄνθρωπον, καὶ τὸν υἱὸν αὐτοῦ Νικά- Nicanor, socii Cha-
10 νορα· [c]τἄλλα γε μετρίους ἀνθρώπους καὶ δοκοῦντας ropis.
εἶναι Ῥωμαίων φίλους, οἳ, πολύ τι κεχωρισμένοι τὸν
πρὸ τοῦ χρόνον ἁπάσης ἀδικίας, οὐκ οἶδ' ὅπως τότε
συνεπέδωκαν αὑτοὺς εἰς τὸ συνεπισχύειν καὶ κοινωνεῖν
11 ταῖς τοῦ Χάροπος ἀνομίαις. Ἐπειδὴ δ' ὁ προειρημένος
τοὺς μὲν κατὰ τὴν ἀγορὰν ἀναφανδὸν ἐφόνευσε, τοὺς δ'
ἐν ταῖς ἰδίαις οἰκίαις, ἐνίους δ' ἐπὶ τῶν ἀγρῶν καὶ κατὰ
τὰς ὁδοὺς ἐπαποστέλλων ἐδολοφόνησε, καὶ πάντων τῶν
τεθνεώτων ἐξηνδραποδίσατο τοὺς βίους, ἄλλην ἐπεισῆγε
12 μηχανήν. Προέγραφε γὰρ τοὺς εὐκαιροῦντας τοῖς βίοις Mater
13 φυγάδας, οὐ μόνον ἄνδρας, ἀλλὰ καὶ γυναῖκας. ἀνα- adjutrix sævitatis.
ταθεὶς δὲ τὸν φόβον τοῦτον, ἐχρηματίζετο ἀεὶ τοὺς μὲν
ἄνδρας δι' ἑαυτοῦ, τὰς δὲ γυναῖκας διὰ τῆς μητρὸς

[c] τἄλλα γε corr. Vales. τἄλλα δὲ MS. Forsan debuit τἄλλα μέν.

tum *Charops*, plenissimam quidvis agendi licentiam nactus, nullum crudelitatis genus omisit, partim per se ipse, partim amicorum opera usus. Quippe cum ipse admodum juvenis erat, tum vero perditissimus ac levissimus quisque, diripiendæ alienæ pecuniæ caussa, ad eum confluxerat. Maximam porro auctoritatem ac fidem omnibus illius factis addiderat, utque non sine consilio, sed ex sententia populi Romani, cuncta agere viderentur, effecerat vetus amicitia, quæ illi cum plerisque primariis viris Romæ intercedebat, ac præterea suffragium *Myrtonis* senis, et *Nicanoris* ejus filii. Qui cum alioqui satis modesti et amici populi Romani viderentur, semperque antea ab omni flagitio procul abfuissent, tum nescio quo pacto seipsos scelerum *Charopi* fautores ac socios adjunxerant. At vero ille, ubi alios in medio foro palam trucidavit, alios in suis domibus, nonnullos in agris, aut per vias, submissis percussoribus interfecit, atque omnium protinus facultates invasit, tandem alia machina grassari cœpit. Locupletissimum enim quemque, nec viros solum, sed et matresfamilias, exsules proscripsit. Quo metu incusso, ipse adsidue viros quidem per se, mulieres vero matris *Philotidis* opera spoliabat. Fuit enim ista mulier ad hoc admodum idonea,

Ol. 155. 3.

Φιλότιδος. πάνυ γὰρ [d] εὐφυὴς ἐγένετο [e] κατὰ τοῦτο τὸ 14
πρόσωπον, πρὸς δὲ βίαν καὶ πλεῖόν τι δυνάμενον συνερ-
γεῖν ἢ κατὰ γυναῖκα.

Phœnice opp. Epiri.

XXII. Ἐπειδὴ δὲ πάντας ἐξηργυρίσαντο κατὰ τὸ
δυνατὸν, εἰσῆγον εἰς τὸν δῆμον οὐδὲν ἧττον ἅπαντας
τοὺς προγεγραμμένους. Οἱ δὲ πολλοὶ τῶν ἐν τῇ 2
Φοινίκῃ, τὰ μὲν διὰ τὸν φόβον, τὰ δὲ καὶ δελεαζό-
μενοι διὰ τῶν περὶ τὸν Χάροπα, κατέκριναν οὐ φυγῆς,
ἀλλὰ θανάτου πάντας τοὺς προσαγγελθέντας ὡς ἀλλό-
τρια φρονοῦντας Ῥωμαίων. Οὗτοι μὲν οὖν πάντες 3
ἔφυγον, ὅτε Χάροψ ὥρμησεν εἰς τὴν Ῥώμην, ἔχων
χρήματα καὶ τοὺς περὶ τὸν Μύρτωνα μεθ' αὑτοῦ,
βουλόμενος ἐπισφραγίσασθαι διὰ τῆς συγκλήτου τὴν
αὑτοῦ παρανομίαν. Ἐν ᾧ καιρῷ κάλλιστον μὲν ἐγένετο 4
δεῖγμα τῆς Ῥωμαίων αἱρέσεως, κάλλιστον δὲ θέαμα
πᾶσι τοῖς Ἕλλησι τοῖς παρεπιδήμοις, μάλιστα δὲ τοῖς
ἀνακεκλημένοις. ὅ τε γὰρ Μάρκος, ἀρχιερεὺς ὢν καὶ 5
πρῶτος τῆς συγκλήτου γραφόμενος, ὅ τε Λεύκιος, ὁ τὸν
Περσέα νικήσας, μεγίστην ἔχων πίστιν καὶ δύναμιν,
πυνθανόμενοι τὰ πεπραγμένα τῷ Χάροπι κατὰ τὴν
Ἤπειρον, ἐκώλυσαν εἰς τὰς οἰκίας αὐτῶν εἰσιέναι τὸν
Χάροπα. οὗ γενομένου περιβοήτου, πάντες ἐγενήθησαν 6
οἱ παρεπιδημοῦντες περιχαρεῖς, ἀποδεχόμενοι τὸ μισο-

Romam abit Charops.

[d] εὐφυὴς correxi ex Diodoro Siculo. Vulgo εὐφυὴς, quod tenens Reiskius, deinde δυναμένη voluit pro δυνάμενον. [e] Præpositionem delendam censuit Vales. καὶ τοῦτο est apud Diod. quod Polybio restitutum voluit Wesseling.

sed quæ ad vim ac scelus plus etiam adjumenti quam pro muliere adferre posset.

XXII. Postquam demum universos pecunia spoliarunt, nihilo secius cunctos, qui proscripti erant, populi judicio permisere. Et multitudo in urbe *Phœnica*, partim metu, partim blanditiis inducta a factione *Charopis*, universos, quibus alienatus a Romanis animus crimini dabatur, non exsilio, sed capitali sententia condemnarunt. Hi igitur omnes in exsilium abierunt, quo tempore *Charops*, comite Myrtone, cum magna pecuniæ vi Romam est profectus, eo consilio, ut scelus suum senatus auctoritate confirmaret. Tunc temporis vero pulcerrimum specimen morum populi Romani et gratissimum cum omnibus Græcis, tum maxime evocatis, qui Romæ exsulabant, spectaculum adparuit. Etenim *M. Æmilius Lepidus*, pontifex max. et princeps senatus, et *L. Æmilius*, is qui Perseum vicit, maxima vir auctoritate ac potentia præditus, cum accepissent, quæ Charops gesserat in Epiro, domo sua ei interdixerunt. Cujus rei fama per urbem dispersa, Græci, quicumque aderant, maximo sunt gaudio adfecti, et Romanorum adversus improbos odium magnis laudibus

7 πόνηρον τῶν Ῥωμαίων. Μετὰ δὲ ταῦτα τοῦ Χάροπος A. U. 597. Falsum S.
εἰσελθόντος εἰς τὴν σύγκλητον, οὐ [f]συνεκάθετο τοῖς ἀξι- C. confingit.
8 ουμένοις, οὐδ' ἐβουλήθη δοῦναι ῥητὴν ἀπόκρισιν· ἀλλὰ,
τοῖς ἀποστελλομένοις πρεσβευταῖς, ἔφη, δώσειν ἐντολὰς,
9 ἐπισκέψασθαι περὶ τῶν γεγονότων. Ὁ δὲ Χάροψ,
ἀναχωρήσας, ταύτην μὲν τὴν ἀπόκρισιν ἀπεσιώπησε,
γράψας δὲ πρὸς τὴν ἰδίαν ὑπόθεσιν ἁρμόζουσαν ἀπήγ-
γειλεν, ὡς συνευδοκούντων Ῥωμαίων τοῖς ὑπ' αὐτοῦ
πραττομένοις.

III. In Asia.

Vita functo Eumeni *succedit frater* Attalus.

* * *

XXIII. Εὐμένης, ὁ βασιλεὺς, τῇ μὲν σωματικῇ Eumenis elogium.
δυνάμει παραλελυμένος ἦν, τῇ δὲ τῆς ψυχῆς λαμ-
2 πρότητι [g]προσαντεῖχεν· ἀνὴρ ἐν μὲν τοῖς πλείστοις
οὐδενὸς δεύτερος τῶν καθ' αὐτὸν βασιλέων γενόμενος,
περὶ δὲ τὰ σπουδαιότατα καὶ κάλλιστα μείζων καὶ
3 λαμπρότερος. Ὅς γε, πρῶτον μὲν, παραλαβὼν παρὰ
τοῦ πατρὸς τὴν βασιλείαν συνεσταλμένην τελέως εἰς
ὀλίγα καὶ λιτὰ πολισμάτια, ταῖς μεγίσταις τῶν καθ'
αὐτὸν δυναστειῶν ἐφάμιλλον ἐποίησε τὴν ἰδίαν ἀρχήν·
4 οὐ τύχῃ τὸ πλεῖον συνεργῷ χρώμενος, οὐδ' ἐκ περιπε-

[f] *συνίζετο* aut *συγκαθίζει* voluit Reisk. Mihi *συγκατίθετο* videtur legendum. In hac regione inserendum illud Fragm. putavit Valesius, quod continetur *Ecloga CXXVII de Legat.* [g] *προσανεῖχεν* maluerat Reisk.

extulerunt. Deinde postquam in senatum introductus est *Charops*, nequaquam adnuit senatus postulatis ejus, neque certum responsum homini dare voluit; sed *legatis, propediem ad res Illyrici inspiciendas profecturis, id in mandatis se daturum* respondit, *ut, quæcumque acta in Epiro essent, inquirerent.* At *Charops*, domum reversus, responsum quidem senatus reticuit, confictum autem aliud ex sui animi sententia responsum divulgavit, quasi omnia ejus acta senatus probasset.

(III.) *Excerptum Valesianum.*

* * *

XXIII. *Eumenes*, Pergami rex, corpore quidem erat infirmo atque imbecilli, sed animi vigore infirmitatem corporis compensabat; vir, in plerisque rebus nulli ætatis suæ regum secundus, in rebus autem gravissimis ac pulcerrimis omnium maximus ac splendidissimus. Qui primum quidem, cum regnum paucis ac tenuibus oppidulis coarctatum a patre accepisset, amplissimis temporis sui imperiis parem dominationem suam præstitit;

Ol. 155. 3. τείας, ἀλλὰ διὰ τῆς ἀγχινοίας καὶ φιλοπονίας, ἔτι δὲ πράξεως τῆς αὐτοῦ. Δεύτερον φιλοδοξότατος ἐγενήθη, 5
καὶ πλείστας μὲν τῶν καθ' αὐτὸν βασιλέων πόλεις Ἑλληνίδας εὐεργέτησε, πλείστους δὲ κατ' ἰδίαν ἀνθρώπους ἐσωματοποίησε. Τρίτον, ἀδελφοὺς ἔχων τρεῖς καὶ 6
κατὰ τὴν [h] ἡλικίαν καὶ πρᾶξιν, πάντας τούτους συνέσχε πειθαρχοῦντας αὐτῷ καὶ δορυφοροῦντας, καὶ σώζοντας τὸ τῆς βασιλείας ἀξίωμα. Τοῦτο δὲ σπανίως εὕροι τις 7
ἂν γεγονός.

*

Attalus restituit Ariarathem.

Ἄτταλος, ὁ ἀδελφὸς Εὐμένους, παραλαβὼν τὴν 8
ἐξουσίαν, πρῶτον ἐξήνεγκε δεῖγμα τῆς [i] αὐτοῦ προαιρέσεως καὶ πράξεως τὴν Ἀριαράθου καταγωγὴν ἐπὶ τὴν βασιλείαν.

VI.

RES GESTÆ ANNO URBIS DXCVIII.

I. ROMÆ.

Admittitur legatio EPIROTARUM.

Ol. 155. 4. A. U. 598. Legati ex Phœnice Epiri.

* * *

XXIV. [k] ΚΑΤΑ τὸν καιρὸν τοῦτον παραγεγονότων πρεσβευτῶν ἐξ Ἠπείρου, παρά τε τῶν τὴν Φοινίκην κατεχόντων, καὶ παρὰ τῶν ἐκπεπτωκότων, καὶ ποιησαμένων

[h] Ad verba ἡλικίαν καὶ πρᾶξιν deesse verbum ἀκμάζοντας, aut aliquod simile, putavit Vales. [i] Vulgo αὐτοῦ. [k] Hanc Eclogam *Excerpto Peirescisno* (supra, cap. 22.) inserendam putavit Valesius.

non tam fortunæ auxilio et casu quodam, quam solertia et industria atque etiam rebus gestis suis. Deinde præ ceteris ætatis suæ regibus gloriæ cupidissimus fuit, atque unus plurimas Græciæ civitates ac plurimos sigillatim homines beneficiis suis locupletavit. Denique fratres cum haberet tres, et ætate et industria ad res gerendas pollentes; eos in officio omnes continuit, et morigeros custodesque regni ac dignitatis suæ habuit satellites: quod raro admodum contigisse reperias.

*

Attalus, Eumenis frater, postquam regnare occœpit, primum ingenii atque industriæ suæ specimen dedit restituto in regnum *Ariarathe*.

VI.

I. *Legatio CXXVII.*

* * *

XXIV. CIRCA idem tempus venerunt *ex Epiro legati*, partim ab eis missi qui *Phœnicen* tenebant, partim ab exsulibus. Qui postquam apud senatum

2 λόγους κατὰ πρόσωπον· ἔδωκεν ἀπόκρισιν αὐτοῖς ἡ A. U. 594.
σύγκλητος, ὅτι δώσει περὶ τούτων ἐντολὰς τοῖς ἀπο-
στελλομένοις πρεσβευταῖς εἰς τὴν Ἰλλυρίδα μετὰ Γαΐου C. Marcius Cos.
Μαρκίου.

II. In Asia.

Bellum Prusiæ *cum* Attalo.

* * *

XXV. Προυσίας μετὰ τὸ νικῆσαι τὸν Ἄτταλον, [l] καὶ Attalus victus a
τὸ παρελθεῖν πρὸς τὸ Πέργαμον, παρασκευασάμενος Prusia.
θυσίαν πολυτελῆ προσήγαγε πρὸς τὸ τέμενος τοῦ
2 Ἀσκληπιοῦ. καὶ βουθυτήσας καὶ καλλιερήσας, τότε
3 μὲν ἐπανῆλθεν [m] ἐπὶ τὴν παρεμβολήν· κατὰ δὲ τὴν Prusias furit in
ἐπιοῦσαν [n] καταστήσας τὴν δύναμιν ἐπὶ τὸ Νικηφόριον, templa.
τούς τε νεὼς ἅπαντας διέφθειρε, καὶ τὰ τεμένη τῶν θεῶν,
ἐσύλησε δὲ καὶ τοὺς ἀνδριάντας καὶ τὰ λίθινα τῶν
4 [o] ἀγαλμάτων. Τὸ δὲ τελευταῖον καὶ τὸ τοῦ Ἀσκλη-
πιοῦ ἄγαλμα βαστάσας, περιττῶς ὑπὸ [p] Φυλομάχου
5 κατεσκευασμένον, ἀπήνεγκεν ὡς αὐτόν· ᾧ τῇ πρότερον
ἡμέρᾳ κατασπένδων [q] ἐβουθύτει καὶ κατηύχετο, δεόμενος,
ὅπερ εἰκὸς, ἵλεων αὐτῷ γενέσθαι καὶ εὐμενῆ κατὰ πάντα
6 τρόπον. Ἐγὼ δὲ τὰς τοιαύτας διαθέσεις καὶ πρότερον
εἴρηκά που, περὶ Φιλίππου ποιούμενος τὸν λόγον, μανι-

[l] Ex Suida adscivi. Vulgo μετὰ τὸ παρελθεῖν absque conjunct. [m] εἰς Suid. [n] ἐπιστήσας Suid. [o] βαστάσας ἄγαλμα idem. [p] Φυρόμαχος, *Phyromachus* vocatur apud alios scriptores. [q] ἐβουθύτει καταστ. Suid.

caussam suam utrique præsentes disceptarunt, hoc tulerunt responsum: *senatum de eorum rebus mandata legatis daturum, qui cum C. Marcio in Illyricum essent profecturi.*

II. *Excerptum Valesianum.*

* * *

XXV. *Prusias*, victo Attalo, ad *Pergamum* accessit, in *Æsculapii* templo cum sumtuoso adparatu sacra facturus. Mactatis igitur victimis cum perlitasset, tum quidem in castra est reversus: postridie vero copiis ad *Nicephorium* adductis, templa omnia vastare, delubra ac statuas deorum immortalium et imagines spoliare ac diripere cœpit. Postremo et ipsum *Æsculapii simualcrum*, insigni artificio a *Phylomacho* [sive *Phyromacho*] fabricatum rapuit abstulitque; cui pridie libaverat, hostiasque et vota obtulerat, propitium ac benignum (ut mos est) ipsius numen sibi adprecatus. Ego vero hujusmodi *mores hominum* etiam antea, cum de rebus Philippi

Ol. 155. 4. κάς. Τὸ γὰρ ἅμα μὲν θύειν καὶ διὰ τούτων ἐξιλά- 7
σκεσθαι τὸ θεῖον, προσκυνοῦντα καὶ λιπαροῦντα τὰς
τραπέζας καὶ τοὺς βωμοὺς ἐξάλλως, ὅπερ [r] ὁ Προυσίας
εἴθιστο ποιεῖν, γονυπετῶν καὶ γυναικιζόμενος· ἅμα δὲ 8
ταῦτα καὶ λυμαίνεσθαι, καὶ διὰ τῆς τούτων κατα-
φθορᾶς τὴν εἰς τὸ θεῖον ὕβριν διατίθεσθαι· πῶς οὐκ ἂν
εἴποι τις εἶναι θυμοῦ λυττῶντος ἔργα, καὶ ψυχῆς
ἐξεστηκυίας τῶν λογισμῶν; Ὃ καὶ τότε συνέβαινε 9
γίγνεσθαι περὶ τὸν Προυσίαν. Ἀνδρὸς μὲν γὰρ [s] ἔργον
οὐδὲν ἐπιτελεσάμενος κατὰ τὰς προσβολὰς, ἀγεννῶς
δὲ καὶ γυναικοθύμως χειρίσας καὶ τὰ πρὸς θεοὺς, καὶ
τὰ πρὸς ἀνθρώπους, μετήγαγε τὸ στράτευμα πρὸς
Elæa. Ἐλαίαν· καὶ καταπειράσας τῆς Ἐλαίας, καί τινας 10
προσβολὰς ποιησάμενος, οὐδὲν δὲ πράττειν δυνάμενος,
διὰ τὸ Σώσανδρον τὸν τοῦ βασιλέως σύντροφον εἰσελη-
λυθότα μετὰ στρατιωτῶν εἴργειν αὐτοῦ τὰς ἐπιβολὰς,
Thyatira. ἀπῆρεν ἐπὶ Θυατείρων. Κατὰ δὲ τὴν ἐπάνοδον τὸ τῆς 11
Hieracome. Ἀρτέμιδος ἱερὸν, τῆς ἐν Ἱερᾷ Κώμῃ, μετὰ βίας ἐσύ-
Apollo Cynius Temni. λησεν. ὁμοίως καὶ τὸ τοῦ Κυνίου Ἀπόλλωνος τέμενος, 12
τοῦ περὶ [t] Τῆμνον, οὐ μόνον ἐσύλησεν, ἀλλὰ καὶ τῷ
πυρὶ διέφθειρεν. Καὶ ταῦτα διαπραξάμενος ἐπανῆλθεν 13
εἰς τὴν οἰκείαν, οὐ μόνον τοῖς ἀνθρώποις, ἀλλὰ καὶ τοῖς
θεοῖς πεπολεμηκώς. Ἐταλαιπώρησε δὲ καὶ τὸ πεζικὸν 14
στράτευμα τῷ Προυσίᾳ κατὰ τὴν ἐπάνοδον ὑπό τε τοῦ

[r] εἴωθε Προυσίας Suid. [s] Vocab. ἔργον ex conject. adjecit Valesius. [t] Τῆμνον correxi, monente Valesio. Vulgo Τεμνὸν.

agerem, *furiosos* me dicere memini. Etenim simul victimas cædere, Deosque propitios orare, omnemque aram ac lapidem exquisito quodam studio adorare et venerari flexis genibus et muliebri superstitione, quod *Prusias* facere solebat; atque interim eadem fana diripere, eorumque vastatione contumeliam diis facere; quis neget animi id esse, rabie perciti, hominisque de statu mentis deturbati? Quod quidem tum Prusiæ contigit. Nam cum nullum in oppugnatione generosi animi facinus edidisset, sed prorsus imbelli ac muliebri animo adversus deos hominesque esset usus, exercitum *Elæam* traduxit, et tentata urbis obsidione cum nihil proficeret, eo quod *Sosander*, regis collactaneus, cum præsidio militari urbem ingressus, impetum ipsius repellebat, *Thyatira* castra transtulit. Porro inter redeundum fanum Dianæ, quod est in *Hiera Come*, vi illata spoliavit. *Apollinis* quoque *Cynii* delubrum circa *Temnum* non spoliavit solum, sed etiam igne vastavit. Atque his peractis domum rediit, illato et hominibus et diis immortalibus bello. Sed et pedestres ejus copiæ fame ac dysenteria in re-

λιμοῦ καὶ τῆς δυσεντερίας, ὥστε παρὰ πόδας ἐκ [u]θεο-πέμπτου δοκεῖν ἀπηντῆσθαι μῆνιν αὐτῷ διὰ ταύτας τὰς αἰτίας. A. U. 598.

*

XXVI. Ἄτταλος, ἡττηθεὶς παρὰ Προυσίου, προχειρισάμενος Ἀθήναιον τὸν ἀδελφὸν ἐξαπέστειλε μετὰ τῶν περὶ τὸν Πόπλιον Λέντλον, διασαφήσοντα τῇ συγ- Athenæus, frater Attali, Romam legatus.
2 κλήτῳ τὸ γεγονός. Οἱ δὲ ἐν τῇ Ῥώμῃ, τοῦ μὲν Ἀνδρονίκου παραγενομένου καὶ διασαφοῦντος τὰ περὶ τὴν
3 πρώτην ἔφοδον τῶν πολεμίων, οὐ προσεῖχον· ἀλλ' ὑπενόουν, τὸν Ἄτταλον βουλόμενον αὐτὸν ἐπιβαλεῖν τῷ Προυσίᾳ τὰς χεῖρας, προφάσεις προκατασκευάζεσθαι,
4 καὶ προκαταλαμβάνειν διαβολαῖς. Ἅμα δὲ τοῦ τε Νικομήδους καὶ τῶν περὶ τὸν Ἀντίφιλον, τῶν παρὰ τοῦ Προυσίου πρεσβευτῶν, διαμαρτυρομένων, μηδὲν εἶναι τούτων· ἔτι μᾶλλον ἠπίστει τὰ λεγόμενα περὶ τοῦ
5 Προυσίου. Μετὰ δέ τινα χρόνον, ἐπιδιασαφουμένης τῆς πραγματείας, ἀμφιδοξήσασα περὶ τῶν προσπιπτόντων ἡ σύγκλητος, ἐξαπέστειλε πρεσβευτὰς Λεύκιον Ἀπουλήϊον καὶ Γάϊον Πετρώνιον, τοὺς ἐπισκεψομένους, πῶς ἔχει τὰ κατὰ τοὺς προειρημένους βασιλεῖς. Legati Rom. in Asiam.

[u] θεοπέμπτου ex Toupii conject. recepi. Vulgo θεόπτου, quod in θεῶν του mutare jussit Reisk.

ditu laborarunt, adeo ut sceleribus Prusiæ pœna a diis e vestigio repræsentata esse videretur.

*

(*Legatio CXXVIII.*)

XXVI. *Attalus*, a Prusia victus, fratrem *Athenæum* cum *Publio Lentulo* proficisci jussit, ad declarandum senatui quod acciderat. Romani enim post *Andronici* adventum, quum ille primam hostium impressionem narraret, dictis non erant commoti; sed in suspicionem venerant, *Attalum*, quod cuperet ipse Prusiam adoriri, occasiones belli præparare, et criminationibus eum antevertere. Simulque Nicomede et Antiphilo *Prusiæ legatis* testantibus, nihil eorum, quæ dicerentur, esse facta; multo adhuc minus fidei habere patres iis, quæ de Prusia nunciabantur. Mox vero magis magisque re omni explorata; incerti patres, quantum his nunciis tribuere fidei deberent, *L. Apuleium* et *C. Petronium* legatos miserunt, ad invisendum, quo loco regum illorum res essent.

ΤΗΣ ΤΡΙΑΚΟΣΤΗΣ ΤΡΙΤΗΣ

ΤΩΝ ΠΟΛΥΒΙΟΥ ΙΣΤΟΡΙΩΝ

ΤΑ ΣΩΖΟΜΕΝΑ.

I.

RES ANNI URBIS DXCIX.

I. Res Romæ Gestæ.

* * *

Ol. 156. 1. A. U. 599.

Auditur Athenæus, fr. Attali.

1. Η ΣΥΓΚΛΗΤΟΣ, ἔτι κατὰ χειμῶνα διακούσασα τῶν περὶ Πόπλιον Λέντλον ὑπὲρ τῶν κατὰ Προυσίαν, διὰ τὸ νεωστὶ παραγεγονέναι τούτους ἐκ τῆς Ἀσίας, εἰσεκαλέσατο καὶ τὸν Ἀθηναίον τὸν Ἀττάλου
2 τοῦ βασιλέως ἀδελφόν. Οὐ μέντοι πολλῶν προσεδεήθη λόγων, ἀλλ' εὐθέως καταστήσασα πρεσβευτὰς συνεξαπέστειλε τῷ προειρημένῳ τοὺς περὶ Γάϊον Κλαύδιον Κέντωνα, καὶ Λεύκιον Ὁρτήσιον, καὶ Γάϊον Αὐρουγκουλήϊον, ἐντολὰς δοῦσα, κωλύειν τὸν Προυσίαν Ἀττάλῳ πολεμεῖν.

Legati mittuntur in Asiam.

Παρεγένοντο δὲ καὶ παρὰ τῶν Ἀχαιῶν πρέσβεις εἰς

Achæorum legati,

I.

I. *Legatio CXXIX.*

* * *

1. QUUM sub hiemis exitum senatus *Publium Lentulum*, qui recens ex Asia redierat, super iis, quæ fecerat *Prusias*, audivisset; *Athenæum* quoque, Attali regis fratrem, in curiam revocavit. Ibi non fuit verbis opus, sed statim cum prædicto legatos mittere decrevit *C. Claudium Centonem*, *L. Hortensium*, et *C. Aurunculeium*, quibus mandata dedit, ut *prohiberent Prusiam, quo minus bellum cum Attalo gereret.*

Aderant etiam Romæ Xeno Ægiensis, et Telecles Ægeates, *ab Achæis*

Ol. 156. 1.

de dimissione evocatorum.

Ῥώμην ὑπὲρ τῶν κατεχομένων, οἱ περὶ Ξένωνα [a]τὸν Αἰγιέα, καὶ Τηλεκλέα τὸν Αἰγεάτην. ὧν ποιησαμένων
4 λόγους ἐν τῇ συγκλήτῳ, καὶ τοῦ διαβουλίου προτεθέντος, παρ' ὀλίγον ἦλθον ἀπολῦσαι τοὺς κατῃτιαμένους οἱ τοῦ συνεδρίου. Τὴν δὲ αἰτίαν ἔσχε τοῦ μὴ συντελε-
5 σθῆναι τὴν ἀπόλυσιν Αὖλος Ποστούμιος, στρατηγὸς ὢν ἑξαπέλεκυς, καὶ βραβεύων τὸ διαβούλιον. Τριῶν γὰρ
6 οὐσῶν γνωμῶν, μιᾶς μὲν τῆς ἀφιέναι κελευούσης, ἑτέρας δὲ τῆς ἐναντίας [b]ταύτῃ, τρίτης δὲ τῆς ἀπολύειν μὲν, ἐπισχεῖν δὲ κατὰ τὸ παρὸν, καὶ πλείστων δὲ ὄντων τῶν ἀφιεμένων· παρελθὼν τὴν μίαν γνώμην, διερώτα τὰς δύο
7 καθολικῶς, οἷς δοκεῖ τοὺς ἀνακεκλημένους ἀφιέναι, καὶ τοὐναντίον. λοιπὸν, οἱ πρὸς τὸ παρὸν ἐπέχειν κελεύοντες
8 [c]προσέβησαν πρὸς τοὺς μὴ φάσκοντας δεῖν ἀπολύειν, καὶ πλείους ἐγενήθησαν τῶν ἀφιέντων. Καὶ ταῦτα μὲν ἐπὶ τούτων ἦν.

II. Res Peloponnesi.

* * *

Achæi novam legationem mittunt Romam.

II. Τῶν ἐκ τῆς Ῥώμης πρεσβευτῶν ἀνακαμψάντων εἰς τὴν Ἀχαΐαν, καὶ διασαφούντων, ὅτι παρ' ὀλίγον ἔλθοι τὰ πράγματα τοῦ πάντας ἐπανελθεῖν τοὺς κατε-

[a] τὸν Αἰγιάτην ex MStis revocavi, cum Τεγεάτην ex Ursini conjectura fuisset editum. Ex legat. seq. posses Μεγαλοπολίτην suspicari, nisi nimis recederet a vestigiis scripturæ. [b] ταύτῃ ab Ursino est. ταύτης MSti, non male. [c] προσέβησαν correxit Urs. προσένησαν cod. Urs. προσώνησαν Bav.

missi, eorum caussa qui captivi tenebantur. Ea legatione in senatu audita, eaque re ad deliberandum proposita, parum abfuit, quin patres reos absolverent: quod quominus fieret, per *Aulum Postumium* prætorem, qui senatum tunc habebat, stetit. Nam quum tres dictæ sententiæ essent, una eorum, qui *dimittendos* censebant, altera *contrarium* censentium, tertia eorum, quibus placebat, *absolvi quidem illos, sed in præsentia retineri;* plerisque de absolutione consentientibus; prætor, una sententia prætermissa, duas rogatione sua est complexus: *qui evocatos sentitis dimittendos*, in hanc partem; *qui alia omnia*, in illam partem ite. Tum vero qui retinendos in præsentia censuerant, iis se adjunxerunt, qui absolvendos negabant, et ita eos, qui absolvendos censebant, numero vicerunt. Eo tum loco fuit istud negotium.

II. *Legatio CXXX.*

* * *

II. Posteaquam legati, qui Romam iverant, reversi in *Achaiam* renunciassent, nihil propius factum esse, quam ut omnes redirent, qui captivi tene-

2 χομένους· εὐέλπιδες γενόμενοι καὶ μετεωρισθέντες οἱ πολλοὶ, πάλιν ἐξαυτῆς ἔπεμπον Τηλεκλέα τὸν Μεγαλοπολίτην [d]καὶ Ἀναξίδαμον. Καὶ τὰ μὲν κατὰ Πελοπόννησον ἐπὶ τούτων ἦν. A. U. 590.

III. Res Cypri. Archias *præfectus prodere insulam* Demetrio *conatur.*

* * *

1 III. * * προτείνειν αὐτῷ φ' τάλαντα, παραχωρήσαντι τῆς Κύπρου, καὶ τἄλλα συνακολουθήσοντα λυσιτελῆ καὶ τίμια [e]παρ' αὐτοῦ συνεπιδεικνύειν, προσενεγκαμένῳ τὴν χρείαν ταύτην. Deprehensus, suspendio vitam finit.

*

2 [f]Ἀρχίας, βουλόμενος τὴν Κύπρον προδοῦναι τῷ Δημητρίῳ, καὶ φωραθεὶς, καὶ εἰς κρίσιν ἀχθεὶς, λαβὼν ἐκ τῆς παραπεπετασμένης [g]αὐλαίας καλώδιον, ἑαυτὸν
3 ἀπεκρέμασε. Τῷ γὰρ ὄντι διὰ τὰς ἐπιθυμίας κενοὶ Vani vana agitant.
4 κενὰ λογίζονται, κατὰ τὴν παροιμίαν. Καὶ γὰρ ἐκεῖνος, δόξας φ' τάλαντα προσλήψεσθαι, καὶ τὰ προϋπάρχοντα χρήματα καὶ τὸ πνεῦμα προσαπέβαλεν.

[d] Abest καὶ a Bav. Forsan debuerat καὶ τὸν Μεγαλοπ. Ἀναξ. [e] παρ' αὐτοῦ ex conject. correxi. Vulgo παρ' αὐτῷ. [f] Ad hunc locum Valesius retulit et Fragm. apud Suidam in Προσαγγελίᾳ. Τῷ δὲ Πτολεμαίῳ γενομένης προσαγγελίας παρεῖναι τὸν Ἀρχίαν. id est, *Ptolemæo quum nunciatum esset, adesse Archiam.* [g] Sic Suidas in Αὐλαίας. Sed καλωδίῳ τῶν ἐκ τῆς αὐλαίας παραπεπετασμένων cod. Peir. et Suid. in Κενοὶ. παραπετασμάτων Suid. in Ἀρχίας.

bantur; plerique omnes eo nuncio in spem adducti erigere animos cœperunt, atque extemplo Teleclem Megalopolitanum et Anaxidamum Romam denuo proficisci jubent. Hic tum fuit *rerum in* Peloponneso status.

III. *Suidas in* Προτείνειν. *Deinde Excerpt. Valesian. et Suidas.*

* * *

III. * * *offerre ipsi quingenta talenta, si Cypro cessisset, aliaque emolumenta et honores suo nomine ob oculos illi ponere, si hac in re ei morem gessisset.*

*

Archias, Cyprum *Demetrio* prodere quum vellet, deprehensus et in judicium adductus, sumto funiculo de prætento aulæo sese suspendit. Revera enim decepti cupiditatibus homines *vani vana agitant*, ut est in proverbio. Namque ille, quingenta se talenta accepturum dum sperat, et quas antea possederat opes et vitam simul amisit.

Ol. 156. 2.

II.

RES ANNI URBIS DC.

I. Res in Italia Gestæ.

(I.) *Audiuntur Romæ Legati* Massiliensium.

* * *

Queruntur de Liguribus.

IV. ΚΑΤΑ τὸν αὐτὸν καιρὸν ἧκον [h]πρεσβευταὶ καὶ παρὰ Μασσαλιητῶν. οἱ πάλαι μὲν κακῶς πάσχοντες 2 ὑπὸ τῶν Λιγυστινῶν, τότε δὲ συγκλειόμενοι τελέως, καὶ πρὸς τούτοις καὶ πολιορκουμένων τῶν πόλεων Ἀντιπόλεως καὶ Νικαίας, ἐξαπέστειλαν πρεσβευτὰς εἰς τὴν Ῥώμην, τούς τε τὰ γιγνόμενα διασαφήσοντας, καὶ δεομένους σφίσι βοηθεῖν. Ὧν καὶ παρελθόντων εἰς τὴν σύγκλητον, 3 ἔδοξε τῷ συνεδρίῳ, πρεσβευτὰς πέμψαι, τοὺς ἅμα μὲν αὐτόπτας γενησομένους τῶν γιγνομένων, ἅμα δὲ πειρασομένους λόγῳ διορθώσασθαι τῶν βαρβάρων τὴν ἄγνοιαν.

(II.) Ptolemæus *junior* (*Physcon*) *Romam venit.*

* * *

Q. Opimius Cos.

V. Κατὰ τοὺς καιροὺς, καθ' οὓς ἐξέπεμψεν ἡ σύγκλητος τὸν [i]Ὀπίμιον ἐπὶ τὸν τῶν Ὀξυβίων πόλεμον, ἧκε Πτολεμαῖος ὁ νεώτερος εἰς τὴν Ῥώμην· καὶ παρελθὼν 2

[h] Verbum πρεσβευταὶ abest a MStis, insertum ab Ursino; qui et v. 2. articulum οἱ ex conject. adjecit. [i] Ὀπίμιον correxit Urs.

II.

(I.) *Legatio CXXXI.*

* * *

IV. CIRCA tempus idem adfuerunt et legati *Massiliensium*, quos jampridem *Ligures* vexabant, tunc vero in magnas redegerant angustias. Nam et urbes eorum, *Antipolis* atque *Nicæa*, obsessæ a Liguribus tenebantur. Propterea legatos Romam miserant, qui et quo loco res eorum essent Romanis significarent, et opem sibi ferri peterent. Hi quum in senatu fuissent auditi, legatio decreta est, partim ad invisendum regionum illarum statum, partim, si fieri posset, ad emendandum sine armis, quæ peccata erant a barbaris.

(II.) *Legatio CXXXII.*

* *

V. Quo tempore senatus *Opimium* ad gerendum bellum adversus *Oxybios* misit, *junior Ptolemæus* in urbem venit. Qui ut ingressus est in curiam,

εἰς τὴν σύγκλητον, ἐποιεῖτο κατηγορίαν τἀδελφοῦ, φέρων A. U. 600.
3 τὴν αἰτίαν τῆς ἐπιβουλῆς ἐπ' ἐκεῖνον. ἅμα δὲ τὰς ἐκ Ptol. jun.
τῶν τραυμάτων οὐλὰς ὑπὸ τὴν ὄψιν δεικνὺς, καὶ τὴν accusat
λοιπὴν δεινολογίαν ἀκόλουθον τούτοις διατιθέμενος, ἐξ- fratrem.
4 εκαλεῖτο τοὺς ἀνθρώπους πρὸς ἔλεον. Ἧκον δὲ καὶ
παρὰ τοῦ πρεσβυτέρου πρέσβεις, οἱ περὶ τὸν Νεολαΐδαν
καὶ Ἀνδρόμαχον, ἀπολογούμενοι πρὸς τὰς [k] παρὰ τἀ-
5 δελφοῦ γενομένας κατηγορίας. ὧν ἡ σύγκλητος [l] οὐδ'
ἀνέχεσθαι δικαιολογουμένων ἠβουλήθη, προκατειλημ-
μένη ταῖς ὑπὸ τοῦ νεωτέρου διαβολαῖς· ἀλλὰ τούτοις
μὲν ἐπανάγειν ἐκ τῆς Ῥώμης προσέταξεν ἐξαυτῆς.
6 Τῷ δὲ νεωτέρῳ πέντε πρεσβευτὰς καταστήσασα τοὺς Restituitur
περὶ Γνάϊον Μερόλαν καὶ Λεύκιον Θέρμον, καὶ πεντήρη in Cyprum.
δοῦσα τῶν πρεσβευτῶν ἑκάστῳ, τούτοις μὲν παρήγγειλε
7 κατάγειν Πτολεμαῖον εἰς Κύπρον· τοῖς δὲ κατὰ τὴν
Ἑλλάδα καὶ τὴν Ἀσίαν συμμάχοις ἔγραψαν, ἐξεῖναι
συμπράττειν τῷ Πτολεμαίῳ τὰ κατὰ τὴν κάθοδον.

(III.) *Decem Legati mittuntur ad* PRUSIAM *pro* ATTALO.

* * *

VI. Τῶν περὶ τὸν Ὁρτήσιον καὶ Αὐρουγκουλήϊον Bellum
παραγεγονότων ἐκ τοῦ Περγάμου, καὶ διασαφούντων dirimere student
τήν τε τοῦ Προυσίου καταφρόνησιν τῶν τῆς συγκλήτου Romani.

[k] Præpos. ex conject. adjeci cum Reisk. [l] *οὐδ' ἀνέχεσθαι* ex Gron. et Reiskii conject. scripsi. Vulgo *οὐδ' ἀναδέχεσθαι. οὐδένα δέχεσθαι* Bav.

fratrem coepit accusare, auctoremque eum dicere insidiarum, quibus fuerat attentatus: simul vulnerum cicatrices oculis spectandas exhibebat, multisque deinceps verbis rei atrocitatem exaggerans, ad miserationem sui flectere animos hominum conabatur. Sed et *senioris Ptolemæi* legati aderant, Neolaidas et Andromachus, qui ad criminationes omnes fratris responderent. Verum istorum senatus ne admittere quidem ad aures orationem voluit: adeo mentes omnium accusationibus fratris erant occupatæ. His igitur extemplo Roma jussis facessere, legati quinque sunt decreti, inter quos erant *Cn. Merula* et *L. Thermus*, et singulis legatis quinqueremes adtributæ. Datum iis negotium fuit, ut cum *juniore Ptolemæo* profecti, in insulam *Cyprum* eum restituerent. Scriptum etiam ad socios Græcos et Asiaticos, *licere illis Ptolemæum in recuperatione Cypri adjuvare.*

(III.) *Legatio CXXXIII.*

* * *

VI. Quum *Hortensius et Aurunculeius*, Pergamo reversi, renunciassent, quanto contemtui mandata senatus

Ol. 156. 2. παραγγελμάτων· καὶ διότι, παρασπονδήσας καὶ συγ- 2
κλείσας εἰς τὸ Πέργαμον αὐτούς τε καὶ τοὺς περὶ τὸν
Ἄτταλον, πᾶσαν βίαν ἐνεδείξατο καὶ παρανομίαν· ἡ
σύγκλητος ὀργισθεῖσα, καὶ βαρέως φέρουσα τὸ γεγο- 3
νὸς, ἐξαυτῆς δέκα πρεσβευτὰς κατέστησε, τοὺς περὶ
Λεύκιον Ἀνίκιον, καὶ Γάϊον Φάννιον, καὶ Κόϊντον Φά-
βιον Μάξιμον· καὶ παραχρῆμα ἐξαπέστειλεν, ἐντολὰς 4
αὐτοῖς δοῦσα, διαλῦσαι τὸν πόλεμον, καὶ τὸν Προυσίαν
ἀναγκάσαι, δίκας ὑποσχεῖν Ἀττάλῳ τῶν [m] κατὰ τὸν
πόλεμον ἀδικημάτων.

II. In Gallia. *Bellum cum* Liguribus.

* * *

Romanos legatos violant Ligures.

VII. Τῶν Μασσαλιητῶν διαπρεσβευσαμένων πρὸς
Ῥωμαίους, κακῶς πάσχειν αὐτοὺς ὑπὸ τῶν Λιγυστινῶν,
παραχρῆμα κατέστησαν Φλαμίνιον, καὶ Ποπίλλιον
Λαινάτον, καὶ Λεύκιον Πόπιον πρεσβευτάς. οἳ καὶ 2
πλέοντες μετὰ τῶν Μασσαλιητῶν, προσέσχον τῆς Ὀξυ-
βίων χώρας κατὰ πόλιν [n] Αἴγιτναν. Οἱ δὲ Λιγυστινοὶ, 3
προακηκοότες, ὅτι πάρεισιν ἐπιτάξοντες αὐτοῖς λύειν τὴν
πολιορκίαν, τοὺς μὲν ἄλλους ἔτι καθορμιζομένους ἐπελ-
θόντες ἐκώλυσαν τῆς ἀποβάσεως· τὸν δὲ Φλαμίνιον 4
καταλαβόντες ἀποβεβηκότα καὶ τὰς ἀποσκευὰς ἀποτε-

[m] Articulum adjeci cum Reisk. *Tota hæc Ecloga, ut et sequens, desideratur in cod. Bav.* [n] Αἴγιτναν ex loco inferiore correctum est. αἰγιαλὸν h. l. erat in cod. Urs.

Prusias habuisset; qui, violato fœdere, adversus ipsos et *Attalum* Pergami inclusos omnem vim atque injuriam tentasset; patres irati, et indignatione facinoris commoti, decem extemplo legatos decreverunt, in queis *L. Anicius*, et *C. Fannius*, et *Q. Fabius Maximus:* eosque statim cum mandatis miserunt, ut *bello finem imponerent, et Prusiam pro injuriis bello illatis pœnas Attalo pendere cogerent.*

II. *Legatio CXXXIV.*

* * *

VII. Quum venisset Romam legatio *Massiliensium*, quæ *vexari eos a Liguribus* nunciabat, extemplo decreverat senatus legatos *Flaminium*, *Popillium Lænatem*, ac *L. Pupium*. Qui, cum Massiliensibus profecti, *Ægitnam* urbem in agro Oxybiorum naves adpulerunt. At *Ligures*, quum ante cognovissent, adesse illos ut solvi obsidionem juberent; ceteros quidem, dum adhuc in portu sunt, supervenientes ipsi facere escensionem prohibuerunt; *Flaminium* vero quum navi jam egressum deprehendissent,

θειμένον, τὰς μὲν ἀρχὰς ἐκέλευον αὐτὸν ἐκ τῆς χώρας A. U. 600.
ἀπολύεσθαι· τοῦ δὲ παρακούοντος, ἤρξαντο τὰ σκεύη Vulneratur Flaminius.
5 διαρπάζειν. Τῶν δὲ παίδων καὶ τῶν ἀπελευθέρων ἀντι-
ποιουμένων καὶ κωλυόντων, ἀπεβιάζοντο, καὶ προσέφερον
6 τούτοις τὰς χεῖρας. Ἐν ᾧ καιρῷ καὶ τοῦ Φλαμινίου
βοηθοῦντος τοῖς ἰδίοις, τοῦτον μὲν κατέτρωσαν, δύω δὲ
τῶν οἰκετῶν κατέβαλον, τοὺς δὲ λοιποὺς κατεδίωξαν εἰς
τὴν ναῦν, ὥστε τὸν Φλαμίνιον, μόγις ἀποκόψαντα τ᾽
ἀπόγαια καὶ τὰς ἀγκύρας, διαφυγεῖν τὸν κίνδυνον.
7 Οὗτος μὲν ἀποκομισθεὶς εἰς Μασσαλίαν, ἐθεραπεύετο
8 μετὰ πάσης ἐπιμελείας. Ἡ δὲ σύγκλητος πυθομένη Opimius consul.
τὰ γεγονότα, παραχρῆμα τὸν ἕνα τῶν ὑπάτων Κόϊντον
Ὀπίμιον ἐξαπέστειλε μετὰ δυνάμεως, πολεμήσοντα
τοῖς Ὀξυβίοις καὶ Δεκιήταις.

VIII. Ὁ δὲ Κόϊντος, συναθροίσας τὰς δυνάμεις εἰς Bellum cum Oxybiis et Deciatis.
τὴν τῶν Πλακεντίνων πόλιν, καὶ ποιησάμενος τὴν πορείαν
2 διὰ τῶν Ἀπεννίνων ὀρῶν, ἧκεν εἰς τοὺς Ὀξυβίους. στρα-
τοπεδεύσας δὲ παρὰ τὸν [o] Ἄπρωνα ποταμὸν, ἀνεδέχετο
τοὺς πολεμίους, πυνθανόμενος αὐτοὺς ἀθροίζεσθαι, καὶ
3 προθύμους εἶναι πρὸς τὸ διακινδυνεύειν. Καὶ προσ-
αγαγὼν τὴν στρατιὰν ὁ Κόϊντος πρὸς τὴν Αἴγιτναν, ἐν
ᾗ συνέβη τοὺς πρεσβευτὰς παρασπονδηθῆναι, τὴν πόλιν
κατὰ κράτος ἑλὼν, ἐξηνδραποδίσατο, καὶ τοὺς ἀρχηγοὺς
4 τῆς ὕβρεως ἀπέστειλε δεσμίους εἰς τὴν Ῥώμην. καὶ

[o] Οὔαρον, *Varum*, suspicatus est Urs.

et sarcinas in terram expositas, principio excedere agro suo jusserunt; deinde, quia imperium contemnebat, impedimenta illius diripere, eosque qui pro sarcinis dimicabant, et quo minus diriperentur prohibebant, vi repellere, manusque ipsis inferre cœperunt. Jamque et Flaminius, suis opem ferens, vulneratus est, et duo e familia humi prostrati, reliqui in navim sunt compulsi: ut Flaminius ipse, rudentibus præcisis, quibus vel in litore vel in ancoris tenebatur navis, ægre saluti suæ consuluerit. Is igitur *Massiliam* delatus, omni studio ac diligentia curabatur. Senatus vero de iis, quæ acciderant, factus certior, extemplo alterum *consulem*, *Q. Opimium* cum exercitu proficisci jussit ad *bellum cum Oxybiis et Deciatis* gerendum.

VIII. *Opimius* die militi edicta ad conveniendum in agrum Placentinorum, Apenninis montibus superatis, in fines *Oxybiorum* pervenit. Dein positis ad *Apronem* fluvium castris, hostes, quos congregari in unum intellexerat, et acie confligere paratos esse, ibi exspectavit. Mox admotis copiis ad oppidum *Ægitnam*, ubi violati fuerant populi Romani legati, vi illam occupat, cives mulctat servitute, auctores injuriæ catenis oneratos Romam mittit: atque his rebus peractis,

Ol. 156 2. ταῦτα διαπραξάμενος, ἀπήντα τοῖς πολεμίοις. Οἱ δὲ 5
Ὀξύβιοι, νομίζοντες, ἀπαραίτητον αὐτοῖς εἶναι τὴν εἰς
τοὺς πρεσβευτὰς ἁμαρτίαν, παραλόγῳ τινὶ χρησάμενοι
θυμῷ, καὶ λαβόντες ὁρμὴν παραστατικὴν, πρὶν ἢ τοὺς
Δεκιήτας αὐτοῖς συμμῖξαι, [p]περὶ τετρακισχιλίους ἀθροι-
σθέντες ὥρμησαν ἐπὶ τοὺς πολεμίους. Ὁ δὲ Κόϊντος, 6
ἰδὼν τὴν ἔφοδον καὶ τὸ θράσος τῶν βαρβάρων, τὴν μὲν
ἀπόνοιαν αὐτῶν κατεπλάγη· θεωρῶν δὲ μηδενὶ λόγῳ
ταύτῃ χρωμένους τοὺς ἐχθροὺς, εὐθαρσὴς ἦν, ἅτε τριβὴν
ἐν πράγμασιν ἔχων, καὶ τῇ φύσει διαφερόντως ἀγχίνους
ὑπάρχων. Διόπερ ἐξαγαγὼν τὴν αὐτοῦ στρατιὰν, καὶ 7
παρακαλέσας τὰ πρέποντα τοῖς καιροῖς, ᾔει βάδην ἐπὶ
τοὺς πολεμίους. χρησάμενος δὲ συντόνῳ προσβολῇ, τα- 8
χέως ἐνίκησε τοὺς ἀντιταξαμένους, καὶ πολλοὺς μὲν
αὐτῶν ἀπέκτεινε, τοὺς δὲ λοιποὺς ἠνάγκασε φυγεῖν
προτροπάδην. Οἱ δὲ Δεκιῆται ἠθροισμένοι παρῆσαν, 9
ὡς μεθέξοντες τοῖς Ὀξυβίοις τῶν αὐτῶν κινδύνων. ὑστε- 10
ρήσαντες δὲ τῆς μάχης, τοὺς φεύγοντας ἐξεδέξαντο,
καὶ μετ' ὀλίγον συνέβαλον τοῖς Ῥωμαίοις μετὰ μεγά-
λης ὁρμῆς καὶ προθυμίας. ἡττηθέντες δὲ τῇ μάχῃ, 11
παραυτίκα πάντες παρέδωκαν σφᾶς αὐτοὺς καὶ τὴν
πόλιν εἰς τὴν Ῥωμαίων πίστιν. Ὁ δὲ Κόϊντος, κύριος 12
γενόμενος τούτων τῶν ἐθνῶν, παραυτίκα μὲν τῆς χώρας,
ὅσην ἐνεδέχετο, προσέθηκε τοῖς Μασσαλιήταις, εἰς δὲ τὸ

Prælio vincuntur Oxybii, et Deciatæ.

Opimio se tradunt omnes.

[o] Sic sua auctoritate Casaubonus edidit, quum περὶ τετρακισχιλίων ἀθροισθέντων haberet Ursinus, quod veremur ne verum sit nec temere solicitandum.

obviam hostibus procedit. *Oxybii*, spem nullam veniæ superesse rati post admissum in legatos delictum, temeraria æstuantes ira, cæcum ac furiosum capiunt impetum, et congregati ad quatuor millia, priusquam se cum iis Deciatæ junxissent, Romanos invadunt. Consul, impressionem atque audaciam barbarorum ut videt, mirari ille quidem desperatorum hominum furorem: sed, qui in incepto hostium isto rationem nullam deprehenderet, vir usu rerum et sagacitate mentis præstans, de exitu prælii bene sperabat. Igitur copias castris educere, milites ut res atque tempus monebat adloqui, deinde presso gradu in hostem vadere. Primo impetu, quem dedit vehementissimum, oppositam aciem cito perculit: multi sunt occisi, reliqui in effusam fugam dare se coacti. Interim congregatis copiis adveniunt *Deciatæ*, Oxybiis socios periculi sese præbituri. Sed quia post pugnam pugnatam venerant, fugientium e clade fugam sistunt, et mox cum Romanis vi magna atque alacritate confligunt. Victi vero eo prælio, sine mora omnes et se et urbem suam in fidem Romanis dedunt. Consul, his populis superatis, agri capti quantam maximam poterat partem *Massi-*

13 μᾶλλον ὅμηρα τοὺς Λιγυστινοὺς ἠνάγκασε διδόναι κατά A. U. 600.
τινας τακτοὺς χρόνους τοῖς Μασσαλιήταις· αὐτὸς δὲ
παροπλίσας τοὺς ἀντιταξαμένους, καὶ [p] διελὼν τὴν
14 δύναμιν [q] ἐπὶ τὰς πόλεις, αὐτοῦ τὴν παραχειμασίαν
ἐποιήσατο. Καὶ ταῦτα μὲν ὀξεῖαν ἔλαβε καὶ τὴν
ἀρχὴν καὶ τὴν συντέλειαν.

III. Res in Asia Gestæ.

(I.) Rhodiorum *Bellum cum Cretensibus.*

* * *

IX. Ἀριστοκράτης, ὁ τῶν Ῥοδίων στρατηγὸς, ἦν Aristocrates prætor Rhodior.
2 μὲν κατὰ τὴν ἐπιφάνειαν ἀξιωματικὸς καὶ καταπλη-
κτικός. διόπερ ἐκ πάντων τούτων ὑπέλαβον οἱ Ῥόδιοι
3 τελέως ἀξιόχρεων ἡγεμόνα καὶ προστάτην ἔχειν τοῦ
πολέμου. Διεψεύσθησαν μέν τοι γε τῶν ἐλπίδων.
4 ἐλθὼν γὰρ εἰς τὰς πράξεις, ὥσπερ εἰς πῦρ, καθάπερ
τὰ κίβδηλα τῶν νομισμάτων, ἀλλοῖος ἐφάνη. Τοῦτο δ᾽
ἐγένετο δῆλον ἐπ᾽ αὐτῶν τῶν ἔργων.

(II.) Prusiæ *Bellum cum* Attalo.

* * *

[r] X. Κατὰ τὴν Ἀσίαν Ἄτταλος ἔτι κατὰ χειμῶνα συνήθροιζε μεγάλας δυνάμεις, ἅτε καὶ τῶν περὶ Ἀρι- Ariarathes et Mithridates, socii Attali.

[p] διελὼν correxit Ursin. ἑλὼν MS. [q] Revocavi ex MS. κατὰ τὰς πόλ. ex ing. edidit Ursinus. [r] *Et hæc rursus Ecloga, et ea quæ sequitur, absunt a cod. Bav.*

liensibus statim adtribuit, *Ligures*que compulit, ut de futuro obsides darent Massiliensibus, certis temporibus renovandos. Ipse eas gentes, quæ secum pugnaverant, exarmat, et distributo per oppida exercitu, hiberna ibi egit. Atque ita bellum hoc magna celeritate et susceptum est et confectum.

III.

(I.) *Excerptum Valesianum.*

* * *

IX. *Aristocrates*, prætor Rhodiorum, erat ille quidem specie ipsa plena dignitatis ac terroris. Quamobrem *Rhodii* idoneum belli ducem atque egregium imperatorem sese habere crediderant. Verum enim vero sua spe longe frustrati sunt. Nam quum ad res ipsas, tamquam in fornacem accessisset, instar adulterinæ monetæ longe alius adparuit, quod in ipsis negotiorum articulis clarum fuit.

(II.) *Legatio CXXXV.*

* * *

X. Quod ad Res Asiæ, *Attalus*, dum adhuc esset hiems, magnum exercitum coegit, quum et *Ariarathes* et

Ol. 156. 2. ἀράθην καὶ τὸν Μιθριδάτην ἐξαπεσταλκότων αὐτῷ στρατιὰν ἱππέων καὶ πεζῶν κατὰ τὴν συμμαχίαν, ὧν ἡγεῖτο Δημήτριος [s] ὁ Ἀριαράθου. Ὄντος δὲ περὶ ταύτας αὐτοῦ 2
τὰς κατασκευάς, ἧκον ἐκ τῆς Ῥώμης οἱ πρέσβεις· οἳ καὶ συμμίξαντες αὐτῷ περὶ Κάδους, καὶ κοινολογηθέντες περὶ τῶν πραγμάτων, ὥρμησαν πρὸς τὸν Προυσίαν. Ἐπειδὴ δὲ συνέμιξαν, διεσάφουν αὐτῷ τὰ παρὰ 3
τῆς συγκλήτου μετὰ πολλῆς [t] ἐπιστάσεως. Ὁ δὲ 4
Προυσίας ἔνια μὲν τῶν προσταττομένων προσεδέχετο, τοῖς δὲ πλείστοις [u] ἀντέλεγε. Διόπερ οἱ Ῥωμαῖοι 5
προσκόψαντες αὐτῷ, τήν τε φιλίαν ἀπείπαντο καὶ τὴν συμμαχίαν, καὶ πάντες ἐξαυτῆς ἀπηλλάττοντο πάλιν ὡς τὸν Ἄτταλον. Ὁ δὲ Προυσίας, μετανοήσας, μέχρι 6
μέν τινος ἐπηκολούθει λιπαρῶν· ἐπεὶ δ' οὐδὲν ἤνυεν, ἀπαλλαγεὶς ἐν ἀμηχανίαις ἦν. Οἱ δὲ Ῥωμαῖοι τὸν 7
μὲν Ἄτταλον ἐκέλευον, προκαθίσαντα τῆς αὐτοῦ χώρας μετὰ δυνάμεως, αὐτὸν μὲν μὴ κατάρχειν τοῦ πολέμου· ταῖς δὲ πόλεσι ταῖς αὐτοῦ καὶ ταῖς κώμαις τὴν ἀσφάλειαν παρασκευάζειν. Αὐτοὶ δὲ μερίσαντες σφᾶς αὐ- 8
τούς, οἱ μὲν ἔπλεον κατὰ σπουδήν, ἀπαγγέλλοντες τῇ συγκλήτῳ τὴν ἀπείθειαν τοῦ Προυσίου, τινὲς δὲ ἐπὶ τῆς Ἰωνίας ἐχωρίσθησαν, ἕτεροι δὲ ἐφ' Ἑλλησπόντου καὶ τῶν κατὰ τὸ Βυζάντιον τόπων· μίαν ἔχοντες καὶ τὴν 9
αὐτὴν πρόθεσιν ἅπαντες, ἀπὸ μὲν τῆς Προυσίου φιλίας

Romani legati

amicitiam renunciant Prusiæ.

[s] Adjeci artic. qui abest vulgo. [t] An ἐπιτάσεως? [u] ἀντέλεγε correxi cum Reisk. Vulgo ἀντιλέγετο.

Mithridates, ejus socii, copias ipsi tum equestres tum pedestres, duce *Demetrio Ariarathis filio*, submisissent. In his adparatibus dum occupatur Attalus, *legati Romani* veniunt, qui regem *Cadis* convenerunt, et de omnibus rebus cum eo locuti, ad Prusiam recta sunt profecti. Eo ut ventum, voluntatem senatus serio illi declararunt. *Prusias* ex iis, quæ imperabantur, nonnulla facturum se pollicitus, de plerisque negabat. Itaque Romani legati, pertinacia illius offensi, amicitiæ et societati renunciarunt, atque extemplo omnes, eo relicto, ad Attalum pergere. Tum vero Prusias pœnitentia ductus, orans obsecransque legatos aliquamdiu sequi: et quum nihil proficeret, domum reversus, in summa consilii inopia versari. Interim Romani *Attalo* auctores sunt, ut cum exercitu finibus regni præsidens, ipse quidem bello neminem lacessat, sed urbes suas ac pagos ab injuria defendat. Ipsi in varias partes divisi, partim Romam properant, ad significandam senatui regis Prusiæ pertinaciam, partim in Ioniæ regiones tendunt, alii ad Hellespontum, et ad vicinos Byzantio tractus. Quorum omnium unum idemque erat propositum, ut ab amicitia et societate *Prusiæ* homi-

καὶ συμμαχίας ἀποκαλεῖν τοὺς ἀνθρώπους, Ἀττάλῳ A. U. 600.
δὲ προσνέμειν τὴν εὔνοιαν καὶ συμμαχεῖν κατὰ δύναμιν.

* * *

XI. Κατὰ δὲ τοὺς αὐτοὺς καιροὺς Ἀττάλου ἀδελ- Athenæus,
φὸς Ἀθήναιος κατέπλευσε ναυσὶ καταφράκτοις ὀγδοή- fr. Attali,
2 κοντα· ὧν αἱ πέντε μὲν τριήρεις ἦσαν Ῥοδίων, τῶν classis præfectus.
ἀποσταλεισῶν εἰς τὸν Κρητικὸν πόλεμον, εἴκοσι δὲ
Κυζικηνῶν, ἑπτὰ δὲ ἐπὶ ταῖς εἴκοσι τῶν περὶ τὸν Ἄτ-
3 ταλον, αἱ δὲ λοιπαὶ τῶν ἄλλων συμμάχων. Ποιη-
σάμενος δὲ τὸν πλοῦν ἐφ' Ἑλλησπόντου, καὶ συνάψας
ταῖς πόλεσιν ταῖς ὑπὸ Προυσίαν ταττομέναις, ἀποβά-
σεις τε συνεχεῖς ἐποιεῖτο, καὶ κακῶς διετίθει τὴν χώραν.
4 Ἡ δὲ σύγκλητος, διακούσασα τῶν παρὰ τοῦ Προυσίου Novi legati
πρεσβευτῶν ἀνακεχωρηκότων, ἐξαυτῆς τρεῖς ἄλλους Romani.
ἀπέστειλεν, Ἄππιόν τε τὸν Κλαύδιον, καὶ Λεύκιον
5 Ὄππιον, καὶ Αὖλον Ποστούμιον. οἳ καὶ παραγενό-
μενοι εἰς τὴν Ἀσίαν, διέλυσαν τὸν πόλεμον, εἰς τὰς
τοιαύτας συνθήκας [x]ἐπαναγόμενοι τοὺς βασιλέας ἀμφο-
6 τέρους· Ὥστε παραχρῆμα μὲν εἴκοσι καταφράκτους Pax Attali
νῆας ἀποδοῦναι Προυσίαν Ἀττάλῳ· [y]πεντακόσια δὲ cum Prusia.
7 τάλαντα κατενεγκεῖν ἐν ἔτεσιν εἴκοσι· τὴν δὲ χώραν
ἀμφοτέρους ἔχειν, ἣν καὶ πρότερον εἶχον, ὅτε εἰς τὸν
8 πόλεμον ἐνέβαινον· διορθώσασθαι δὲ Προυσίαν καὶ τὴν

[x] ἐπαγόμενοι voluit Reisk. [y] πεντακισχίλια suspicatus est Reisk.

nes revocarent, *Attalo* vero benevolentiam cunctorum conciliarent, et quibus possent cumque modis eum adjuvarent.

* * *

(*Legatio CXXXVI.*)

XI. Circa idem tempus *Athenæus, Attali frater*, classem adduxit navium tectarum octoginta; quarum quinque triremes Rhodiorum erant, quæ ad *bellum Creticum* fuerant missæ, viginti Cyzicenorum, septem et viginti Attali, reliquæ aliorum sociorum. Is directo cursu in Hellespontum, quoties aliquam præterveheretur earum urbium, quæ *Prusiæ* parebant, crebris exscensionibus factis agrum illarum populabatur. Senatus, auditis legatis, qui a Prusia redierant, tres alios continuo misit, *Appium Claudium, Lucium Oppium*, et *Aulum Postumium.* Hi in Asiam ubi venerunt, bello finem imposuerunt, et ut reges ambo in hujusmodi conditiones consentirent, pervicerunt: *Prusias ut Attalo viginti naves tectas confestim tradat. Talenta quingenta intra viginti annorum spatium pendat. Agrum uterque ut possideat, quem ante inchoatum hoc bellum obtinuerat. Item ut Prusias damna sarciat agris illata Me-*

Ol. 156. 2. καταφθορὰν τῆς χώρας, [z]τῆς τε Μηθυμναίων καὶ τῶν [a]Αἰγαιέων, καὶ τῆς Κυμαίων καὶ Ἡρακλειωτῶν, ἑκατὸν τάλαντα δόντα τοῖς προειρημένοις. Γραφεισῶν [b]δ' ἐπὶ 9
τούτοις τῶν συνθηκῶν, ἀπῆγον τὰς δυνάμεις εἰς τὴν οἰκείαν οἱ περὶ τὸν Ἄτταλον, [c]τὰς ναυτικὰς καὶ τὰς πεζικάς. Καὶ τῆς μὲν Ἀττάλου καὶ Προυσίου διαφορᾶς τοιοῦτος [d]ὅ τε κατὰ μέρος χειρισμὸς ἐγενήθη τῶν πράξεων, [καὶ τὸ τέλος.]

(III.) Prienenses *male multati ab* Ariarathe.

* * *

Pecuniam depositam ab Oroferne tradere nolunt Ariarathi.

XII. Κατὰ τοὺς καιροὺς τούτους καὶ Πριηνεῖς ἐνέπεσον παραλόγῳ συμφορᾷ. Δεξάμενοι γὰρ παρ' [d]'Ὀρο- 2
φέρνους, ὅτ' ἐκράτησε τῆς ἀρχῆς, ἐν παρακαταθήκῃ υ' τάλαντα, ἀπητοῦντο κατὰ τοὺς ἑξῆς χρόνους ὑπ' Ἀριαράθου, ὅτε μετέλαβε τῆς ἀρχῆς. Οἱ μὲν οὖν Πριη- 3
νεῖς, ὡς ἐμοὶ δοκεῖ, ὀρθῶς ἵσταντο, φάσκοντες, οὐδενὶ [f]προήσεσθαι τὰ χρήματα, ζῶντος [e]'Ὀροφέρνους, πλὴν αὐτῷ τῷ παραθεμένῳ. Ὁ δ' Ἀριαράθης πολλοῖς ἐδόκει 4
παραπίπτειν τοῦ καθήκοντος, ἀπαιτῶν τὴν ἀλλοτρίαν παραθήκην. οὐ μήν, ἀλλ' ἕως μὲν τούτου τάχ' ἂν τις 5
ἔχοι συγγνώμην αὐτῷ, καταπειράζοντι· τῷ δοκεῖν τῆς

[z] Aut τῆς τε τῶν Μηθυμν. scribendum, aut τῆς τῶν τε Μηθυμν. [a] Αἰγαιέων correxi ex alio Polybii loco. Vulgo h. l. Αἰγίων. [b] Aut sic, aut δὲ τούτων, fuit corrigendum. Vulgo omnes δὲ τούτοις. [c] Sic Urs. τὰς πεζ. καὶ τὰς ναυτ. edidit Casaubonus (casune nescimus an consilio) idque tenuere sequentes. [d] ὅ τε ex MSto revocavi, et in fine verba καὶ τὸ τέλος ex Reiskii conject. adjeci. Vulgo τότε κατὰ μέρος ex Ursini ing. [e] Vulgo h. l. 'Ὀλοφέρνους. Et sic rursus infra, v. 10. [f] προήσεσθαι correxi cum Reisk. Vulgo προιέσεσθαι.

thymnæorum, Ægæensium, Cumæorum, et Heracleotarum, centumque illis talenta solvat. Hoc fœdere scripto, *Attalus* copias suas, et navales et terrestres, domum reduxit. Atque hoc modo et singula gesta sunt eo bello, quod Attali et Prusiæ controversia excitaverat, et finis bello est impositus.

(III.) *Excerptum Valesianum.*

* * *

XII. Iisdem temporibus *Prienenses* in gravem calamitatem præter spem inciderunt. Nam cum *Orofernes*, quo tempore in Cappadocia regnabat, quadringenta talenta apud eos deposuisset; postea *Ariarathes*, in regnum restitutus, eam pecuniam a Prienensibus repetiit. Jam Prienenses meo quidem judicio recte atque ordine faciebant, cum dicerent, *quamdiu Orofernes in vivis esset futurus, nemini alteri se eam pecuniam reddituros, nisi ipsi, qui eam deposuerat.* Et Ariarathes multum peccare plerisque videbatur, qui alienum depositum repeteret. Enimvero hactenus fortasse venia dignus fuerit ille, quod tentavit id auferre quod ad regni sui fiscum

ἐκείνου βασιλείας εἶναι τὰ χρήματα. τὸ δὲ καὶ πορρωτέρω προβαίνειν ὀργῆς καὶ φιλοτιμίας, οὐδαμῶς ἐδόκει A. U. 600.
6 γενέσθαι κατὰ λόγον. Κατὰ δὲ τοὺς νῦν λεγομένους καιροὺς ἐπαποστείλας ἐλεηλάτει τὴν χώραν τῶν Πριηνέων, συνεργοῦντος Ἀττάλου καὶ παροξύνοντος διὰ τὴν Ariarath. cum Attalo vexat Prienenses.
7 ἰδίαν διαφορὰν, ἣν εἶχε πρὸς τοὺς Πριηνεῖς. Πολλῶν δὲ καὶ σωμάτων καὶ θρεμμάτων ἀπολομένων, καὶ πρὸς τῇ πόλει πτωμάτων γενομένων, ἀμύνασθαι μὲν οὐχ οἷοί τ' ἦσαν οἱ Πριηνεῖς, ἐπρέσβευον δὲ καὶ πρὸς Ῥοδίους, μετὰ
8 δὲ ταῦτα ἐπὶ Ῥωμαίους κατέφυγον. [f] * Ὁ δὲ οὐ προσεῖχε τοῖς λεγομένοις, καὶ Πριηνεῖς μὲν, μεγάλας ἔχοντες ἐλπίδας ἐπὶ τῷ πλήθει τῶν χρημάτων, τοῖς ἐναντίοις
9 ἐνεκύρησαν. τῷ μὲν γὰρ Ὀροφέρνει τὴν παραθήκην ἀπέδωκαν, ὑπὸ δὲ τοῦ βασιλέως Ἀριαράθου ἱκαναῖς τισι βλάβαις περιέπεσον ἀδίκως διὰ τὴν παραθήκην.

* *

10 [g] Πῶς οὐκ ἂν εἰκότως [h] δόξειεν ὑπερβεβηκέναι καὶ ἀπολεληρηκέναι τὸν Βεργαῖον Ἀντιφάνην, καὶ καθόλου μηδενὶ καταλιπεῖν ὑπερβολὴν ἀπονοίας τῶν ἐπιγιγνομένων. Antiphanes Bergæus.

[f] Ante verba Ὁ δὲ *asteriscum* posui, monente Reisk. [g] In Cod. Peiresc. una serie hæc junguntur superioribus. Sed, *videri utique nonnihil deesse*, monuit Vales.. Reiskius nil desiderari contendit, nisi forte Πῶς οὖν οὐκ ἄν. Idem ἀπολεληρωκέναι pro ἀπολεληρηκέναι maluerat, et ἀνοίας pro ἀπονοίας. [h] δόξειεν ex MSto revocavi. δόξοιεν ex conject. edidit Valesius.

pertinere putavit: at vero iracundia ac pertinacia ulterius ferri, nullatenus rationi consentaneum potest videri. Jam vero hoc, de quo dicimus, tempore immissis prædatoribus agrum Prienensem vastare cœpit, adjuvante *Attalo*, et ob suam cum Prienensibus privatam simultatem eum incitante. Cum igitur magna cædes hominum simul ac pecorum jactura passim fieret, et ad ipsas urbis portas nonnulli trucidarentur; Prienenses, succurrere non valentes, et ad Rhodios miserunt legationem, et ad Romanos deinde confugerunt. * Sed ille cuncta, quæ dicebantur, parvi faciebat: et *Prienenses*, qui in tantæ pecuniæ summa magnam spem posuerant, contrarium prorsus eventum sunt experti. Etenim *Oroferni* quidem depositum fideliter reddiderunt; sed ab Ariarathe rege male multati ob illud depositum gravissimis calamitatibus injuria conflictati sunt.

* *

Cui non merito videatur ille *Bergæum Antiphanem* longo intervallo superasse, adeo ut nemo umquam tantam ejus vesaniam æquaturus sit.

Ol. 156. 3.

III.

RES GESTÆ ANNO URBIS DCI.

(I.) Achæi *frustra petunt dimissionem Evocatorum.*

* * *

XIII. ΚΑΤΑ τὸν καιρὸν τοῦτον, ἐν τῇ Ῥώμῃ, τῶν ἐκ τῆς Ἀχαΐας πρεσβευτῶν εἰσελθόντων εἰς τὴν σύγκλητον περὶ τῶν ἀνακεκλημένων, ἔδοξε τῷ συνεδρίῳ μένειν ἐπὶ τῶν ὑποκειμένων.

(II.) *Legatio ex* Syria *adversus* Demetrium. *Legatio* Rhodiorum.

* * *

Demetrius ebriosus.

XIV. Δημήτριον, φησὶ Πολύβιος ἐν τῇ τρίτῃ καὶ τριακοστῇ, βασιλεύσαντα Σύρων, πολυπότην ὄντα, τὸ πλεῖστον τῆς ἡμέρας μεθύσκεσθαι.

*

Ei opponitur Alexander (Balas.)

Ὁ Ἡρακλείδης, ἔτι τῆς θερείας ἀκμαζούσης, παρῆγεν εἰς τὴν Ῥώμην, ἄγων τὴν Λαοδίκην καὶ τὸν
Ἀλέξανδρον. ποιούμενος δὲ τὴν [1]παρεπιδημίαν μετὰ 2
τερατείας ἅμα καὶ κακουργίας, ἐνεχρόνιζε, κατασκευαζόμενος τὰ περὶ τὴν σύγκλητον.

*

Rhodiorum legatio de bello Cretico.

Καὶ Ἀστυμήδης ὁ Ῥόδιος, καὶ πρεσβευτὴς ἅμα καὶ 3
ναύαρχος καθεσταμένος, παρελθὼν ἐξαυτῆς εἰς τὴν σύγ-

[1] ἐπιδημίαν Bav.

III.

(I.) *Legatio CXXXVII.*

* * *

XIII. EODEM tempore, quum *Achæorum legati*, qui Romæ erant, in curiam venissent, de iis, qui ex Achaia fuerant Romam *evocati;* visum patribus, nihil movendum.

(II.) *Athenæus Lib.* X. *Cap.* 11. *Deinde Ecloga Legat. CXXXVIII.*

* * *

XIV. *Demetrium*, Syriæ regem, Polybius *Historiarum Libro XXXIII* scribit *bibacem et maximam diei partem ebrium fuisse.*

*

Adhuc æstas erat, cum Romam *Heraclides* advenit, et *Laodicen* atque *Alexandrum* eo adduxit. Qui dum in urbe commoratur, magnæ fortunæ speciem ostentavit, vafre agens omnia, et consulto tempus extrahens, ut senatum ad ea quæ moliebatur flecteret.

*

Venerat etiam Romam *Astymedes*, *Rhodiorum legatus*, qui et classi erat

κλητον, διελέγετο περὶ τοῦ πολέμου τοῦ πρὸς Κρηταιεῖς. A. U. 601.
4 ἡ δὲ σύγκλητος προσέχουσα τὸν νοῦν ἐπιμελῶς, παρα-
χρῆμα πρεσβευτὰς ἐξαπέστειλε τοὺς περὶ Κόϊντον,
λύσοντας τὸν πόλεμον.

(III.) Cretenses *et* Rhodii *auxilia petunt ab Achæis.*

* * *

XV. Κατὰ τὸν καιρὸν τοῦτον οἱ Κρηταιεῖς πρεσβευ- Concilium Achæorum.
τὰς ἀπέστειλαν πρὸς Ἀχαιοὺς ὑπὲρ βοηθείας, τοὺς
περὶ Ἀντιφάτην Τηλεμνάστου, Γορτύνιον· παραπλησίως
2 δὲ καὶ Ῥόδιοι τοὺς περὶ Θεοφάνην. Οὔσης δὲ τῆς
συνόδου τῶν Ἀχαιῶν ἐν Κορίνθῳ, καὶ [k] διαλεγομένων τῶν
πρεσβευτῶν ἑκατέρων ὑπὲρ τῆς βοηθείας, ἔρεπον ταῖς
3 γνώμαις οἱ πολλοὶ μᾶλλον ἐπὶ τοὺς Ῥοδίους· ἐντρεπό-
μενοι καὶ τὸ τῆς πόλεως ἀξίωμα, καὶ τὴν ὅλην αἵρεσιν
4 τῆς πολιτείας καὶ τῶν ἀνδρῶν. Εἰς ἃ βλέπων Ἀντι- Antiphates Cretensis.
φάτης, ἐβουλήθη πάλιν ἐπεισελθεῖν. τοῦ δὲ στρατηγοῦ
συγχωρήσαντος, ἐχρήσατο λόγοις βαρυτέροις ἢ κατὰ
5 Κρῆτα, καὶ σπουδαιοτέροις. Καὶ γὰρ ἦν ὁ νεανίσκος
οὐδαμῶς Κρητικὸς, ἀλλὰ πεφευγὼς τὴν Κρητικὴν [l] ἀνα-
6 γωγήν. Διὸ καὶ συνέβαινε, τοὺς Ἀχαιοὺς ἐπιδέχεσθαι Telemnastus.
τὴν παῤῥησίαν αὐτοῦ, καὶ μᾶλλον ἔτι διὰ τὸ τὸν

[k] διαλεγομένων correxi cum Reisk. Vulgo διαλεγόντων. [l] ἀγωγὴν voluerat Reisk.

præfectus. Is sine mora ad senatum adiit, et de *bello adversus Cretenses* verba fecit. Patres, eo audito, et re serio cognita, extemplo *Quintum* legatum miserunt ad finem bello imponendum.

(III.) *Legatio CXXXIX.*

* * *

XV. Eodem quoque tempore *Cretenses* ad *Achæorum* gentem misere legatos, in queis erat *Antiphates* Telemnasti filius Gortynius, opem sibi ferri petentes. Miserunt et *Rhodii* Theophanem. Tunc temporis Achæorum concilium *Corinthi* convenerat: ubi quum esset audita utraque legatio ad petenda auxilia missa; in Rhodios plerarumque propensior voluntas fuit, quum partim splendor urbis et dignitas homines moveret, partim civitatis illius instituta et ipsorum civium mores. Quæ quum animadverteret *Antiphates*, iterum venire in concionem voluit: atque ut permissu prætoris intravit, orationem habuit gravem et seriam, nec pro Cretensis hominis captu. Etenim hic juvenis Creticum nihil omnino sapiebat, eratque penitus a perversa institutione Cretensium alienus. Propterea Achæis grata erat illius in dicendo libertas, eo quidem impensius, quod pater ejus *Telemna-*

Ol. 156. 3. πατέρα τοῦ προειρημένου, Τηλέμναστον, μετὰ πεντακοσίων Κρητῶν ἐλθόντα, συμπεπολεμηκέναι τὸν πρὸς Νάβιν πόλεμον εὐγενῶς αὐτοῖς. Πλὴν διακούσαντες, 7 οὐδὲν ἧττον ὁρμὴν εἶχον οἱ πολλοὶ τοῖς Ῥοδίοις βοηθεῖν· Callicrates. ἕως Καλλικράτης ὁ Λεοντήσιος ἀναστὰς, οὐκ, ἔφη, δεῖν οὔτε πολεμεῖν οὐδενὶ χωρὶς τῆς Ῥωμαίων γνώμης, οὔτε βοήθειαν πέμπειν οὐδενὶ κατ' οὐδενός. Καὶ διὰ ταῦτα 8 κατίσχυσε μένειν ἐπὶ τῶν ὑποκειμένων.

IV.

ANNO URIS DCII.

Regum Asiæ filii in Senatum introducti.

Ol. 156. 4. A. U. 602.

* * *

Attalus, Eumenis fil. Romæ. XVI. ΠΡΕΣΒΕΩΝ διαφόρων παραγενομένων εἰς τὴν Ῥώμην, ἡ σύγκλητος πρῶτον μὲν εἰσεκαλέσατο τὸν Εὐμένους τοῦ βασιλέως υἱὸν Ἄτταλον. Παραγεγόνει 2 γὰρ, ἔτι παῖς ὢν, κατὰ τὸν καιρὸν τοῦτον εἰς Ῥώμην, χάριν τοῦ τῇ τε συγκλήτῳ συσταθῆναι, καὶ τὰς πατρικὰς ἀνανεώσασθαι φιλανθρωπίας καὶ ξενίας. Οὗτος 3 μὲν οὖν φιλανθρωπίνως ὑπό τε τῆς συγκλήτου καὶ τῶν πατρικῶν φίλων ἀποδεχθεὶς, καὶ λαβὼν ἀποκρίσεις, ἃς ἐβούλετο, καὶ τιμὰς ἁρμοζούσας τῇ καθ' αὐτὸν ἡλικίᾳ, μετά τινας ἡμέρας ἐπανῆλθεν εἰς τὴν οἰκείαν· πασῶν 4 αὐτὸν τῶν κατὰ τὴν Ἑλλάδα πόλεων ἐκτενῶς καὶ

stus tempore belli, adversus Nabidem gesti, auxiliaribus copiis quingentorum Cretensium adductis, magno usui illis fuerat. Nihilominus tamen etiam post auditam hujus orationem manebant in sententia plerique, et opem *Rhodiis* ferendam esse censebant; donec surgeret *Callicrates* Leontesius, qui dixit, *non licere Achæis absque Romanorum voluntate neque bellum cuiquam inferre, neque auxilia ulli populo adversus quemcumque hostem submittere.* Hac ille oratione pervicit, ne quid omnino moveretur.

IV.

Legatio CXL.

* * *

XVI. QUUM plures legationes Romam venissent, primo omnium *Attalo, Eumenis* regis *filio*, senatus est datus. Nam is puer admodum eo tempore Romam venerat, ut senatui se commendaret, et amicitiam hospitiique jus, quod patri fuerat cum populo Romano, renovaret. Hic igitur, a senatu et paternis amicis singulari humanitate susceptus, accepto responso ex animi sui sententia, honoribusque adfectus, qui puero id ætatis conveniebant, post paucos dies domum est reversus; omnibus Græciæ civitatibus, per quas iter faciebat, summo studio et magnificentia eum excipien-

5 μεγαλοψύχως ἀποδεξαμένων κατὰ τὴν δίοδον. Ἧκε A. U. 602.
δὲ καὶ Δημήτριος κατὰ τὸν αὐτὸν καιρόν. τυχὼν δὲ Demetrius
μετρίας ἀποδοχῆς, ὡς παῖς, αὖθις ἀνεχώρησεν εἰς τὴν (Ariarathis fil.)
6 οἰκείαν. Ὁ δ' Ἡρακλείδης κεχρονικὼς ἐν τῇ Ῥώμῃ, Alexander (Bala) et
παρῆλθεν εἰς τὴν σύγκλητον, ἔχων μεθ' ἑαυτοῦ τὴν Laodice,
7 Λαοδίκην καὶ τὸν Ἀλέξανδρον. Πρῶτον μὲν οὖν ὁ cum Heraclide.
νεανίσκος ἐποιήσατό τινας μετρίους λόγους· ἠξίου δὲ
Ῥωμαίους, μνησθῆναι τῆς [m] πρὸς τὸν Ἀντίοχον, τὸν
αὐτοῦ πατέρα, φιλίας καὶ συμμαχίας, μάλιστα δὲ
8 συγκατασκευάζειν αὐτῷ τὴν βασιλείαν· εἰ δὲ μή,
συγχωρῆσαι τὴν κάθοδον, καὶ μὴ κωλῦσαι τοὺς βου-
λομένους συμπράττειν αὐτῷ πρὸς τὸ καθικέσθαι τῆς
9 πατρῴας ἀρχῆς. Ὁ δ' Ἡρακλείδης παραλαβὼν τὸν
λόγον, καὶ πολλήν τινα ποιησάμενος Ἀντιόχου μὲν
μνεῖαν ἐπ' ἀγαθῷ, Δημητρίου δὲ κατηγορίαν, εἰς τοῦτο
κατήντησεν, ὅτι δεῖ συγχωρεῖν τὴν κάθοδον τῷ νεανίσκῳ
καὶ τῇ Λαοδίκῃ, κατὰ τὸ δίκαιον, οὖσιν Ἀντιόχου τοῦ
10 βασιλέως ἐκγόνοις κατὰ φύσιν. Τοῖς μὲν οὖν μετρίοις
τῶν ἀνθρώπων οὐδὲν ἤρεσκε τούτων· ἀλλὰ καὶ τὴν κατα-
σκευὴν τοῦ δράματος ἐνενόουν, καὶ τὸν Ἡρακλείδην
11 ἐβδελύττοντο προφανῶς. Οἱ δὲ πολλοί, τεθεραπευμένοι Alexander
[n] τῇ Ἡρακλείδου γοητείᾳ, συγκατηνέχθησαν ἐπὶ τὸ opem impetrat adv.
12 γράφειν δόγμα τοιοῦτον· Ἀλέξανδρος καὶ Λαοδίκη, Demetrium.

[m] πρὸς Ἀντίοχον Bav. absque artic. [n] τῇ Ἡρακλ. γοητείᾳ ex conject. scripsi. τῆς Ἡρακλ. γοητείας MSti. διὰ τῆς Ἡρακλ. γοητείας edd. ex Ursini ing.

tibus. Adfuit ibidem per id tempus et *Demetrius;* qui satis pro ætate, (adolescentulus adhuc erat,) exceptus, in patriam denuo se contulit. *Heraclides* vero, diuturniore mora in urbe facta, in curiam una cum *Laodice et Alexandro* venit. Ibi primo adolescens pauca est locutus, postulavitque, ut *meminissent Romani amicitiæ et societatis, quæ Antiocho parenti suo cum illis fuisset;* deinde, ut *maxime quidem in recuperando suo regno se adjuvarent; sin id minus vellent, redire saltem sibi in Syriam permitterent, neque eos impedirent, qui ad paternum regnum obtinendum opem sibi ferre essent parati.* Mox *Heraclides* sermonem excipere, et postquam laudes ac merita Antiochi pluribus exposuisset, adjecta criminatione Demetrii, postremo subjicere, *æquum justumque esse, ut adolescentulus hic et Laodice, qui essent legitima proles regis Antiochi, in patrium regnum restituantur.* Sed eorum omnium, quæ dicebat iste, nihil quidquam placebat sanæ mentis hominibus; qui et fictam eam esse commentitiamque fabulam intelligebant, et Heraclidem palam abominabantur. At vulgus senatorum, quos præstigiis suis *Heraelides* sibi conciliaverat, in eam sententiam omnes consenserunt, ut hujusmodi Senatusconsultum scriberetur: *Quandoquidem Alexander et Laodice, regis filii, qui*

Ol. 156. 4. A. U. 602. βασιλέως υἱοὶ, φίλου καὶ συμμάχου ἡμετέρου γεγενημένου, ἐπελθόντες ἐπὶ τὴν σύγκλητον, λόγους [o] ἐποιήσαντο· ἡ δὲ σύγκλητος αὐτοῖς ἐξουσίαν ἔδωκεν, ἐπὶ 13
τὴν πατρῴαν ἀρχὴν καταπορεύεσθαι, καὶ βοηθεῖν αὐτοῖς, ὡς ἠξίουν, ἔδοξεν. Ὁ δ' Ἡρακλείδης, ἐπιλαβόμενος 14
τῆς ἀφορμῆς ταύτης, εὐθέως ἐξενολόγει, καὶ προσεκαλεῖτο τῶν ἐπιφανῶν ἀνδρῶν [p] *. Ἀφικόμενος δ' εἰς τὴν 15
Ἔφεσον, ἐγένετο περὶ τὴν παρασκευὴν τῆς προκειμένης ἐπιβολῆς.

[o] Post ἐποιήσαντο *lacunæ signum* interseruit Casaub. [p] In fine versus *supple* cum Reiskio, ὅσους ἠδύνατο, aut aliquid simile.

amicus sociusque populi Romani fuit, senatum adeuntes, verba apud eum fecerunt: senatus, ut in patrium regnum velut postliminio reverterentur, iis permisit; et ferre ipsis opem, uti postularunt, decrevit. Hac arrepta occasione, *Heraclides* militem extemplo conducere, et multos viros illustres sibi adjungere. Dein Ephesum ut venit; bellum, quod moliebatur, sedulo adparare cœpit.

ΤΗΣ ΤΡΙΑΚΟΣΤΗΣ ΤΕΤΑΡΤΗΣ

ΤΩΝ ΠΟΛΥΒΙΟΥ ΙΣΤΟΡΙΩΝ

ΤΑ ΣΩΖΟΜΕΝΑ.

GEOGRAPHICA POLYBII,

A STRABONE MAXIMA ET ATHENÆO CONSERVATA.

I. *Generalia nonnulla, de Argumento hujus Libri.*

* * *

1. ΟΙ δὲ (τὰ τῆς Γεωγραφίας) ἐν τῇ κοινῇ τῆς Ἱστορίας γραφῇ (ἐπραγματεύσαντο·) χωρὶς ἀποδείξαντες
2 τὴν τῶν ἠπείρων τοπογραφίαν· καθάπερ Ἔφορός τε ἐποίησε, καὶ Πολύβιος.

Geographica Polybius peculiari libro Historiarum suarum complexus est.

* * *

3 Πολύβιος, φήσας, περὶ τῶν Ἑλληνικῶν καλῶς μὲν Εὔδοξον, κάλλιστα δ' Ἔφορον ἐξηγεῖσθαι περὶ κτίσεων,
4 συγγενειῶν, μεταναστάσεων, ἀρχηγετῶν· ἡμεῖς δέ, φησί, τὰ νῦν ὄντα δηλώσομεν, καὶ περὶ θέσεως τόπων,

Argumentum hujus Libri.

I.

* * *

(*Strab. Geogr. lib.* VIII. *init.*)

1. NONNULLI Scriptores in communi *Historiæ* enarratione res ad *Geographiam* pertinentes tractaverunt, ita ut separata quadam Historiarum suarum parte *terrarum regionumque descriptionem* complecterentur: quod *Ephorus* fecit et POLYBIUS.

* * *

(*Strabo lib.* X. *p.* 465.)

POLYBIUS dicit, de rebus Græciæ *Eudoxum* belle, optime vero *Ephorum* scripsisse, de origine urbium, de cognationibus, de migrationibus, de ducibus atque auctoribus gentium: *nos autem*, ait, *ea quæ nunc sunt indicabimus, situsque locorum et intervalla ex-*

καὶ διαστημάτων· τοῦτο γάρ ἐστιν οἰκειότατον χωρογραφίᾳ.

* * *

Ἴσως δή τινες ἐπιζητήσουσι, πῶς οὔτε περὶ τοῦ καθ' 5
Ἡρακλείους στήλας στόματος οὐδὲν ἐπὶ πλεῖον εἰρήκαμεν, οὔτε περὶ τῆς ἔξω θαλάττης καὶ τῶν ἐν ταύτῃ
συμβαινόντων ἰδιωμάτων· οὐδὲ μὴν περὶ τῶν Βρεττανικῶν 6
νήσων, καὶ τῆς τοῦ καττιτέρου κατασκευῆς, ἔτι δὲ τῶν ἀργυρείων καὶ χρυσείων τῶν κατὰ τὴν Ἰβηρίαν· ὑπὲρ ὧν οἱ συγγραφεῖς, ἀμφισβητοῦντες πρὸς ἀλλήλους, τὸν
πλεῖστον διατίθενται λόγον. Ἡμεῖς δ', οὐχὶ, νομίζοντες 7
ἀλλότριον εἶναι τοῦτο τὸ μέρος τῆς Ἱστορίας, διὰ τοῦτο παρελίπομεν· ἀλλὰ, πρῶτον μὲν, οὐ βουλόμενοι παρ' ἕκαστα διασπᾷν τὴν διήγησιν, οὐδ' ἀποπλανᾷν ἀπὸ τῆς
πραγματικῆς ὑποθέσεως τοὺς φιληκοοῦντας· δεύτερον 8
δὲ, κρίνοντες, οὐ διεῤῥιμμένην, οὐδ' ἐν παρέργῳ ποιήσασθαι τὴν περὶ αὐτῶν μνήμην· ἀλλὰ κατ' ἰδίαν, καὶ τόπον καὶ καιρὸν ἀπονείμαντες τῷ μέρει τούτῳ, καθ' ὅσον οἷοί τ' ἐσμὲν τὴν ἀλήθειαν περὶ αὐτῶν ἐξηγήσασθαι.

ponemus, quod maxime proprium est descriptioni regionum.

* * *

(*Polyb. Histor. lib.* III. *cap.* 57.)

Quærent fortasse nonnulli, cur *de Freto ad columnas Herculis, de externo mari ejusque natura, de Britannicis insulis et stanni confectione, de auri argentique metallis in Hispania*, de quibus multa, eaque invicem pugnantia, auctores prodidere, non fuse verba fecerimus. Nos vero hæc prætermisimus, non eo quidem nomine, quia parum illa pertinere ad Historiam arbitraremur: sed primo, ne interrumpere narrationem ad singulorum mentionem cogeremur, et a rerum gestarum serie studiosos notitiæ illarum avocare: deinde, quia constituimus, non sparsim variis locis, neque obiter, meminisse illorum; sed seorsim, loco ac tempore ei tractationi destinato, veritatem de illis rebus pro nostra virili explicare.

II. *De* Ulyssis *Navigatione, circa* Siciliam *præsertim.*

* * *

II. [a]Ἐκ μηδενὸς ἀληθοῦς ἀνάπτειν καινὴν τερατολο- Homerus
2 γίαν, οὐχ Ὁμηρικόν. προσπίπτει γὰρ, ὡς εἰκὸς, ὡς ficta cum
πιθανώτερον, ἂν οὕτω τις ψεύδοιτο, εἰ καταμίσγοι τι veris commiscuit.
3 καὶ αὐτῶν τῶν ἀληθινῶν· ὅπερ καὶ Πολύβιός φησι, περὶ
τῆς Ὀδυσσέως πλάνης ἐπιχειρῶν.

* * *

4 Καὶ Πολύβιος δ' ὀρθῶς ὑπονοεῖ τὰ περὶ τῆς πλάνης. Æolus.
5 Τὸν γὰρ Αἴολον, τὸν προσημαίνοντα τοὺς ἔκπλους ἐν
τοῖς κατὰ τὸν πορθμὸν τόποις, ἀμφιδρόμοις οὖσι καὶ
δυσέκπλοις διὰ τὰς παλιῤῥοίας, ταμίαν τε εἰρῆσθαι τῶν
6 ἀνέμων καὶ βασιλέα νενομίσθαι φησί· καθάπερ Δαναὸν Danaus.
μὲν, τὰ ὑδρεῖα τὰ ἐν Ἄργει παραδείξαντα, Ἀτρέα δὲ, Atreus.
τοῦ ἡλίου τὸν ὑπεναντίον τῷ οὐρανῷ δρόμον, μάντεις τε
7 καὶ ἱεροσκοπουμένους ἀποδείκνυσθαι βασιλέας· τούς θ'
ἱερέας τῶν Αἰγυπτίων, καὶ Χαλδαίους, καὶ μάγους,
σοφίᾳ τινὶ διαφέροντας τῶν ἄλλων, ἡγεμονίας καὶ τιμῆς
8 τυγχάνειν παρὰ τοῖς πρὸ ἡμῶν. οὕτω δὲ καὶ τῶν θεῶν
ἕνα ἕκαστον, τῶν χρησίμων τινὸς εὑρετὴν γενόμενον,
9 τιμᾶσθαι. Ταῦτα δὲ προοικονομησάμενος, οὐκ ἐᾷ τὸν Res veras
Αἴολον ἐν μύθου σχήματι ἀκούεσθαι, οὐδ' ὅλην τὴν poetice expressit Homerus.

[a] Quæ de *sex Zonis terræ*, et sigillatim de plaga Æquatori subjecta, ex Polybio Strabo et alii habent, proferentur Tomo primo in *Testimoniis Veterum de Scriptis Polybii* No. V.

II. *Strabo lib.* I. *p.* 20 *et p.* 23 *sq.*

* * *

II. NON est *Homericum*, nova *fabularum* portenta proferre, quæ a nullo *vero* dependeant. Verisimiliora nimirum videri debent auditori quæ quis ita comminiscitur, ut vera falsis admisceat: id quod etiam Polybius dicit, ubi de *Ulyssis erroribus* disserere adgreditur.

* * *

Recte Polybius interpretatur ea, quæ *de Erroribus Ulyssis* Homerus habet. *Æolum* nempe, qui prædicere solebat, qua ratione per fretum navigari posset, cum iis locis ob adfluxum ac refluxum maris difficulter cursus teneri fretumque superari queat, *ventorum promum condum regemque* dictum habitumque fuisse; quemadmodum *Danaus*, quod Argis *aquarum receptacula* instituisset, et *Atreus*, quod solis cursum, conversioni cœli contrarium, docuisset, *vates regesque sacrorum antistites* nominati sunt, similiterque sacerdotibus Ægyptiorum, Chaldæis, Magis, sapientia quadam alios superantibus, honores et imperia sunt delata. Eodemque modo unumquemque Deorum honores ipsi habitos repetere, ait, ex eo quod aliquid utile humano generi invenerit. His Polybius principiis positis, non patitur *Æolum* pro fabula prorsus accipi, aut universam *Ulyssis peregrinationem*:

Ὀδυσσέως πλάνην· ἀλλὰ μικρὰ μὲν προσμεμυθεῦσθαι,
καθάπερ καὶ τῷ Ἰλιακῷ πολέμῳ· τὸ δ' ὅλον, περὶ 10
Σικελίαν [b]καὶ τῷ ποιητῇ πεποιῆσθαι, καὶ τοῖς ἄλλοις
συγγραφεῦσιν, ὅσοι τὰ περιχώρια λέγουσι τὰ περὶ
τὴν Ἰταλίαν καὶ Σικελίαν. Οὐκ ἐπαινεῖ δὲ οὐδὲ τὴν 11
τοιαύτην τοῦ Ἐρατοσθένους ἀπόφασιν, διότι φησὶ, τότ'
ἂν εὑρεῖν τινα, ποῦ Ὀδυσσεὺς πεπλάνηται, ὅταν εὕρῃ
τὸν σκυτέα τὸν συῤῥάψαντα τὸν τῶν ἀνέμων ἀσκόν.
Καὶ τοῦτο δ' οἰκείως εἰρῆσθαι τοῖς συμβαίνουσι περὶ τὸ 12
Σκύλλαιον, καὶ τὴν θήραν τῶν γαλεωτῶν τὸ ἐπὶ τῆς
Σκύλλης.

> Αὐτοῦ δ' ἰχθυάᾳ σκόπελον περιμαιμώωσα, 13
> Δελφῖνάς τε, κύνας τε, καὶ εἴποθι μεῖζον ἕλῃσι
> Κῆτος.———
>
> (Ὀδυσσ. Μ. 95.)

Thynni pisces.

Τοὺς γὰρ θύννους ἀγεληδὸν φερομένους παρὰ τὴν Ἰτα- 14
λίαν, ἐπειδὰν [c]ἐμπέσωσι καὶ κωλυθῶσι τῆς Σικελίας
ἅψασθαι, περιπίπτειν τοῖς μείζοσι τῶν ζώων, οἷον δελ-
φίνων, καὶ κυνῶν, καὶ ἄλλων κητωδῶν· ἐκ δὲ τῆς θήρας 15
αὐτῶν πιαίνεσθαι τοὺς γαλεώτας, οὓς καὶ ξιφίας λέγε-
σθαι καὶ κύνας φησί. Συμβαίνειν γὰρ ταὐτὸν ἐνθάδε, 16
καὶ κατὰ τὰς ἀναβάσεις τοῦ Νείλου, καὶ τῶν ἄλλων
ὑδάτων, ὅπερ ἐπὶ πυρὸς καὶ ὕλης ἐμπιπραμένης· ἀθροι-

[b] Ante hæc verba excidisse videtur vocab. ταὐτὸ aut ταὐτά. Casaubonus supplendum vocab. ἀληθῆ putavit: *reliqua omnia de Sicilia et poetam vere scripsisse et historicos &c.* [c] ἐκπέσωσι voluerat Reisk.

sed, pauca quædam figmenta eis esse adnexa, ait, quemadmodum et *bello Iliaco:* in universum vero, de Sicilia carmine suo poetam eadem esse complexum, quæ ab aliis scriptoribus referuntur, quotquot Italiæ ac Siciliæ vicina loca descripserunt. Neque vero illam probat *Eratosthenis* sententiam, ubi ait, *tum demum inventurum aliquem, quænam ad loca vagando delatus fuerit Ulysses, quum invenerit sutorem, qui utrem ventorum consuit.* Jam quæ de *Scylla* Homerus dixit, docet convenire *venationi galeotarum*, quæ exercetur apud *Scyllæum:*

> *Illic autem piscatur, scopulum circumlustrans,*
> *delphinas, canesque, et sicubi majorem capere possit*
> *cetum.*———

Etenim *thynnos*, cum gregatim præter Italiam feruntur, postquam in fretum inciderunt, et Siciliam adtingere prohibentur, incidere in majores belluas, ut delphinos, canes, et alia cetis similia: ex horum autem venatione pingues reddi *galeotas*, quos etiam *xiphias* et *canes* dici ait. Etenim ibi, quemadmodum et ad Nili aliarumque aquarum adscensum, idem usu venire,

ζόμενα γὰρ τὰ θηρία φεύγειν τὸ πῦρ, ἢ τὸ ὕδωρ, καὶ
βορὰν γίγνεσθαι τοῖς κρείττοσι.
III. Ταῦτα δ' εἰπὼν, διηγεῖται τὴν τῶν γαλεωτῶν Venatio
2 θήραν, ἣ συνίσταται περὶ τὸ Σκύλλαιον. σκοπὸς γὰρ xiphiæ
ἐφέστηκε κοινὸς τοῖς ὑφορμοῦσιν ἐν δικώποις σκαφιδίοις piscis.
3 πολλοῖς, [d]δύο καθ' ἕκαστον σκαφίδιον. καὶ ὁ μὲν ἐλαύ-
νει, ὁ δ' ἐπὶ τῆς πρώρας ἕστηκε δόρυ ἔχων, σημήναντος
τοῦ σκοποῦ τὴν ἐπιφάνειαν τοῦ γαλεώτου· φέρεται δὲ
4 τὸ τρίτον μέρος ἔξαλον τὸ ζῶον. Συνάψαντος δὲ τοῦ
σκάφους, ὁ μὲν ἔπληξεν ἐκ χειρός· εἶτ' ἐξέσπασεν ἐκ
5 τοῦ σώματος τὸ δόρυ χωρὶς τῆς ἐπιδορατίδος. ἀγκι-
στρώδης τε γάρ ἐστι, καὶ χαλαρῶς ἐνήρμοσται τῷ
δόρατι ἐπίτηδες· καλώδιον δ' ἔχει μακρὸν ἐξημμένον·
τοῦτ' ἐπιχαλῶσι τῷ τρωθέντι, ἕως κάμῃ σφαδάζον καὶ
6 ὑποφεῦγον. τότε δ' ἕλκουσιν ἐπὶ τὴν γῆν, ἢ εἰς τὸ
σκάφος ἀναλαμβάνουσιν, ἐὰν μὴ μέγα εἴη τελέως τὸ
7 σῶμα. Κἂν ἐκπέσῃ δὲ εἰς τὴν θάλατταν τὸ δόρυ, οὐκ
ἀπόλωλεν· ἔστι γὰρ πηκτὸν ἔκ τε δρυὸς καὶ ἐλάτης,
ὥστε, βαπτιζομένου τοῦ δρυΐνου βάρει, μετέωρον εἶναι
8 τὸ λοιπὸν καὶ εὐανάληπτον. Συμβαίνειν δέ ποτε καὶ
τιτρώσκεσθαι διὰ τοῦ σκαφιδίου τὸν κωπηλάτην, διὰ
τὸ μέγεθος τοῦ ξίφους τῶν γαλεωτῶν, καὶ τὸ τὴν ἀκμὴν
9 τοῦ ζώου συαγρώδη εἶναι [e]καὶ τὴν θήραν. Ἔκ τε δὴ Scylla et
τῶν τοιούτων εἰκάζοι τις ἂν, φησὶ, περὶ Σικελίαν γενέ- Charybdis.

[d] δυοῖ Reisk. [e] Excidisse χαλεπὴν aut κινδυνώδη suspicatus erat idem.

quod fit materia incensa: nempe animalia, dum agmine facto ignem aquamve fugiunt, præda fiunt robustioribus.

III. His dictis Polybius narrat *galeotarum venationem*, quæ *apud Scyllæum* exercetur. Compluribus naviculis, quæ duobus remis agitantur, bini homines vehuntur, quibus in propinquo præsidet communis speculator. Vectorum alter lembum agit; alter, hasta armatus, in prora stat: speculator adventum galeotæ significat; tertia enim sui parte supra mare eminere galeota solet. Quem ubi attigit navicula, cominus ille hastam corpori ejus impingit: deinde eamdem rursus evellit, relicta in corpore cuspide. Nam hamata cuspis est, et dedita opera leviter hastili præfigitur; ab eaque dependet longus funiculus, quem laxant vulnerata bellua, donec palpitando ac subterfugiendo defatigetur. Tunc ad terram educunt, aut in lembum imponunt, nisi omnino vastiore sit corpore. Hastile vero, etiamsi in mare exciderit, non perit: est enim compactum ex quercu et abiete; ut, cum pondere pars querna mergitur, reliquum in sublimi exstet ac recipi facile possit. Nonnumquam etiam remex per ipsum lembum vulneratur, ob magnitudinem gladii galeotæ et vim belluæ, cujus et impetus et venatio aprorum similis est. Ex his igitur, inquit, conjicere aliquis possit, de *Homeri* sententia ad *Siciliam* evaga-

σθαι τὴν πλάνην κατὰ τὸν Ὅμηρον, ὅτι τῇ Σκύλλῃ
προσῆψε τὴν τοιαύτην θήραν, ἣ μάλιστ' ἐπιχώριός ἐστι
τῷ Σκυλλαίῳ· καὶ ἐκ τῶν περὶ τῆς Χαρύβδεως λεγο- 10
μένων, ὁμοίων τοῖς τοῦ πορθμοῦ πάθεσι. τὸ δέ, 11

Τρὶς μὲν γάρ τ' ἀνίησιν·
(Ὀδυσσ. Μ. 105.)

ἀντὶ τοῦ δίς, γραφικὸν εἶναι ἁμάρτημα, ἢ ἱστορικόν.
Καὶ τὰ ἐν τῇ Μήνιγγι δέ, τοῖς περὶ τῶν Λωτοφάγων 12
εἰρημένοις συμφωνεῖν.

Tres partes poeseos.

IV. Εἰ δέ τινα μὴ συμφωνεῖ, μεταβολὰς αἰτιᾶσθαι
δεῖν, ἢ ἄγνοιαν, ἢ καὶ ποιητικὴν ἐξουσίαν· ἣ συνέστηκεν
ἐξ ἱστορίας, καὶ διαθέσεως, καὶ μύθου. Τῆς μὲν οὖν 2
ἱστορίας ἀλήθειαν εἶναι τέλος· ὡς ἐν νεῶν καταλόγῳ τὰ
ἑκάστοις τόποις συμβεβηκότα λέγοντος τοῦ ποιητοῦ, τὴν
μὲν πετρήεσσαν, τὴν δὲ ἐσχατόωσαν πόλιν, ἄλλην δὲ
πολυτρήρωνα, τὴν δ' ἀγχίαλον. τῆς δὲ διαθέσεως, [f]ἐν- 3
έργειαν εἶναι τὸ τέλος· ὡς ὅταν μαχομένους εἰσάγῃ.
μύθου δέ, ἡδονὴν καὶ ἔκπληξιν. Τὸ δὲ πάντα πλάτ- 4
τειν, οὐ πιθανόν, οὐδ' Ὁμηρικόν. τὴν γὰρ ἐκείνου ποίη-
σιν, φιλοσόφημα πάντας νομίζειν· οὐχ ὡς Ἐρατοσθένης
φησί, κελεύων, μὴ κρίνειν πρὸς τὴν διάνοιαν τὰ ποιή-

Homeri poesis est scriptio philosophica.

[f] ἐνάργειαν cum Xylandro legere jussit Casaub. in ora rursusque in Commentario, sed in ἐνέργειαν consentiunt omnes.

tum esse *Ulyssem;* quandoquidem *Scyllæ* hanc venationem ille adtribuit, quæ maxime usitata est apud *Scyllæum*. Idem pariter colligi posse, ait, ex eis quæ de *Charybdi* refert poeta, similia his quæ freto Siculo accidunt. Nam illud,

Terque die adlidit fluctus,—

pro *bis* positum, errore vel scribæ vel historiæ ait factum. Jam, quæ in *Meninge* sunt, ea cum his quæ de *Lotophagis* narrat Homerus, consentiunt.

IV. Quod si quæ non congruunt, caussam mutationis existimandam esse ait aut ignorationem aut licentiam poeticam, quæ constat ex historia, dispositione ac fabula. *Historiæ* igitur finem esse veritatem: veluti, cum in *Navium recensione* singulis locis suam proprietatem tribuit, dum *urbem* aliam *saxosam*, aliam *in extremitate sitam*, aliam *columbis abundantem*, aliam *mari vicinam* adpellat. *Dispositionis* finem esse efficaciam, et ut res veluti oculis lectorum subjiciantur; veluti, cum pugnantes introducit. *Fabulæ* finem, adficere voluptate, et admiratione percellere. Omnia autem confingere, neque consentaneum esse, nec Homericum. Nam *Homeri poema* omnes *philosophicam* censere esse *scriptionem;* secus quam Eratostheni visum, qui negat, de poematibus ex sententia illis subjecta debere judicari,

5 ματα, μηδ' ἱστορίαν ἀπ' αὐτῶν ζητεῖν. Πιθανώτερόν
τε τὸ,

Ἔνθεν δ' ἐννῆμαρ φερόμην ὀλοοῖς ἀνέμοισιν,

ἐν βραχεῖ διαστήματι δέχεσθαι, (οἱ γὰρ ὀλοοὶ οὐκ
εὐθύδρομοι·) ἢ ἐξωκεανίζειν, ὡς ἂν οὐρίων πνεόντων
6 συνεχῶς. Συνθεὶς δὲ τὸ διάστημα τὸ ἐκ Μαλεῶν ἐπὶ
στήλας, σταδίων δισμυρίων καὶ δισχιλίων πεντακοσίων·
εἰ, φησὶ, τοῦτο θείημεν ἐν ταῖς ἐννέα ἡμέραις διηνύσθαι
ἰσοταχῶς, ἑκάστης ἂν ἡμέρας ὁ πλοῦς συμβαίνοι στα-
7 δίων δισχιλίων πεντακοσίων. τίς οὖν ἱστόρηκεν, ἐκ Λυ-
κίας ἢ Ῥόδου δευτεραῖόν τινα ἀφιγμένον εἰς Ἀλεξάν-
δρειαν, ὄντος τοῦ διαστήματος σταδίων τετρακισχιλίων;
8 Πρὸς δὲ τοὺς ἐπιζητοῦντας, πῶς τρὶς εἰς Σικελίαν ἐλθὼν, A freto Siculo sibi caverunt veteres.
οὐδ' ἅπαξ διὰ τοῦ πορθμοῦ πέπλευκεν Ὀδυσσεὺς, ἀπο-
λογεῖται, διότι καὶ οἱ ὕστερον ἔφευγον ἅπαντες τὸν
πλοῦν τοῦτον. Τοιαῦτα μὲν εἴρηκεν.

III. *Contra superiores Scriptores Geographicos disputat Polybius.*

* * *

v. ΠΟΛΥΒΙΟΣ, τὴν Εὐρώπην χωρογραφῶν, τοὺς μὲν ἀρχαίους ἐᾶν φησὶ, τοὺς δ' ἐκείνους ἐλέγχοντας ἐξετάζειν, Δικαίαρχόν τε καὶ Ἐρατοσθένη, τὸν τελευ- Contra Pytheam.

neque ullam in illis historiam vult quæri. Ait porro, probabilius esse, hunc locum,

Inde per novem dies jactabat a diris ventis,

de non longo itinere intelligi, (venti enim diri vel perniciosi non faciunt ad rectum cursum tenendum,) quam, in externum oceanum hoc temporis spatio navigatum fuisse, comminisci, perinde ac si secundis ille usus esset ventis. Supputato enim, quod est a Maleis ad Herculis columnas, spatio XXII millium et quingentorum stadiorum, si (inquit) hoc eum novem illis diebus æquali in singulos portione ponamus confecisse, quotidie illum navigasse bis mille et quingenta stadia consequetur. Atqui, inquit, quis umquam perhibuit, e Lycia aut Rhodo aliquem biduo Alexandriam esse pervectum, quod intervallum non ultra quatuor millia stadiorum est? Iis etiam, qui quærunt, cur Ulysses, cum ter in Siciliam advenerit, ne semel quidem tamen dicatur per fretum navigasse? respondet, posteriores quoque ab hac navigatione omnes sibi cavisse. Hæc igitur ille.

III. *Strab. Geograph. lib.* II. *p.* 104 *sqq.*

* * *

v. POLYBIUS, Europæ regiones describens, veteres se, ait, missos facere; in eos autem inquirere velle, a quibus illi sunt reprehensi, in *Dicæarchum* et *Eratosthenem*, qui novissimus geogra-

ταῖον πραγματευσάμενον περὶ τῆς γεωγραφίας, καὶ
Πυθέαν· ὑφ' οὗ παρακρουσθῆναι πολλοὺς, ὅλην [g] μὲν τὴν 2
Βρεττανικὴν, [h] ὅσον ἐμβατὸν ἦν, ἐπελθεῖν φάσκοντος,
τὴν δὲ περίμετρον πλειόνων ἢ τεττάρων μυριάδων ἀπο-

Thule insula.

δόντος τῆς νήσου· προσιστορήσαντος δὲ καὶ τὰ περὶ τῆς 3
Θούλης, καὶ τῶν τόπων ἐκείνων, ἐν οἷς οὔτε γῆ κατ'
αὐτὸν ὑπῆρχεν ἔτι, οὔτε θάλαττα, οὔτ' ἀὴρ, ἀλλὰ

Pulmo marinus.

σύγκριμά τι ἐκ τούτων, πλεύμονι θαλαττίῳ ἐοικός· ἐν 4
ᾧ φησὶ τὴν γῆν καὶ τὴν θάλατταν [i] αἰωρεῖσθαι καὶ τὰ
σύμπαντα, καὶ τοῦτον ὡς ἂν δεσμὸν εἶναι τῶν ὅλων, μήτε
ποτε πορευτὸν μήτε πλωτὸν ὑπάρχοντα. Τὸ μὲν οὖν 5
τῷ πλεύμονι ἐοικὸς αὐτὸς ἑωρακέναι, τἄλλα δὲ λέγειν
ἐξ ἀκοῆς. Ταῦτα μὲν τὰ τοῦ Πυθέου, καὶ διότι 6
ἐπανελθὼν ἐνθένδε, πᾶσαν ἐπέλθοι τὴν παρωκεανῖτιν τῆς

Pytheæ fidem non habet Polybius.

Εὐρώπης, ἀπὸ Γαδείρων ἕως Ταναΐδος. Φησὶ δ' οὖν 7
ὁ Πολύβιος, ἄπιστον καὶ αὐτὸ τοῦτο, πῶς ἰδιώτῃ
ἀνθρώπῳ καὶ πένητι τοσαῦτα διαστήματα πλωτὰ καὶ
πορευτὰ γένοιτο; τὸν δ' Ἐρατοσθένη, διαπορήσαντα, εἰ 8
χρὴ πιστεύειν τούτοις, ὅμως περί τε τῆς Βρεττανικῆς
πεπιστευκέναι καὶ τῶν κατὰ Γάδειρα καὶ τὴν Ἰβηρίαν.
Πολὺ δέ φησι βέλτιον, τῷ Μεσσηνίῳ πιστεύειν ἢ τούτῳ. 9
ὁ μέν τοί γε εἰς μίαν χώραν, τὴν Παγχαίαν, λέγει
πλεῦσαι· ὁ δὲ καὶ μέχρι τῶν τοῦ κόσμου περάτων

[g] μὲν τὴν Βρεττ. ex conject. scripsi. Vulgo μέντοι Βρ. [h] ὅσον ex Tyrwhitti conject. recepi. Vulgo Βρεττανικὴν ἐμβατὸν ἢ ἐπελθεῖν. Pro ἢ rescripsi ἦν. ᾖ suaserat Tyrwh. [i] αἰωρεῖσθαι correxi. Vulgo αἰωρῆσθαι.

phiam tractarit, et PYTHEAM, qui multis imposuerit. Hunc enim perhibere, *totam Britanniam, quatenus adiri potest, se peragrasse; ambitum autem insulæ amplius esse* XL *millibus stadiorum.* Tum de *Thule* et istis locis ita narrare: *neque terram ibi porro esse, neque mare, neque aerem, sed quidpiam ex his concretum, Pulmonis Marini simile, in quo terra et mare, et universa, sublimia pendeant; hocque esse* … *m universi, neque pedibus* … *ssum, neque navibus.* Et … Pulmoni simile se ipsum … a auditu accepta referre. … u dicere, adjicereque, *inde reversum, quidquid Europæ regionum est maritimarum, a Gadibus ad Tanaim usque, se peragrasse.* Dicit igitur POLYBIUS, cum incredibile sit, privatum hominem, eumque pauperem, tantum spatii mari terraque obivisse; tamen *Eratosthenem*, quamquam et ipsum dubitantem, fidesne esset his adhibenda, credidisse quæ de Brittannia, de Gadibus et de Hispania ab illo narrantur. Multo autem (ait Polybius) præstabat [*Evhemero*] *Messenio* credere, quam Pytheæ. Ille enim tantum in unam regionem, *Panchæam*, se navigasse ait: hic vero, septemtrionalem Europam universam

κατωπτευκέναι τὴν προσάρκτιον Εὐρώπην πᾶσαν, ἣν οὐδ' ἂν Pytheæ fidem non habet Polybius.
10 τῷ Ἑρμῇ πιστεύσαι τις λέγοντι. Ἐρατοσθένη δὲ τὸν
μὲν Εὐήμερον Βεργαῖον καλεῖν, Πυθέᾳ δὲ πιστεύειν, καὶ
11 ταῦτα δὲ, μήτε Δικαιάρχου πιστεύσαντος. [k Τὸ μὲν
οὖν, μήτε Δικαιάρχου πιστεύσαντος, γελοῖον· ὥσπερ
ἐκείνῳ χρήσασθαι κανόνι προσῆκον, καθ' οὗ τοσούτους
12 ἐλέγχους αὐτὸς προφέρεται. Ἐρατοσθένους δὲ εἴρηται ἡ
περὶ τὰ ἑσπέρια καὶ τὰ ἀρκτικὰ τῆς Εὐρώπης ἄγνοια.
13 Ἀλλ' ἐκείνῳ μὲν καὶ Δικαιάρχῳ συγγνώμη, τοῖς μὴ
14 κατιδοῦσι τοὺς τόπους ἐκείνους· Πολυβίῳ δὲ καὶ Ποσει-
δωνίῳ τίς ἂν συγγνοίη;] Ἀλλὰ μὴν Πολύβιός γέ ἐστιν
ὁ l λαοδογματικὰς καλῶν ἀποφάσεις, ἃς ποιεῖται περὶ
τῶν ἐν τούτοις τοῖς τόποις διαστημάτων, καὶ ἐν ἄλλοις
πολλοῖς, ἀλλ' οὐδ' ἐν οἷς ἐκείνους ἐλέγχει καθαρεύων.

VI. Τοῦ γοῦν Δικαιάρχου μυρίους μὲν εἰπόντος τοὺς Contra Dicæarchum, de distantia a Peloponn. ad fret. Herc.
ἐπὶ στήλας ἀπὸ τῆς Πελοποννήσου σταδίους, πλείους δὲ
τούτων τοὺς ἐπὶ τὸν Ἀδρίαν μέχρι τοῦ μυχοῦ, τοῦ δ'
ἐπὶ στήλας τὸ μέχρι τοῦ πορθμοῦ τρισχιλίους ἀπο-
δόντος, ὡς γίγνεσθαι τὸ λοιπὸν ἑπτακισχιλίους τὸ ἀπὸ
2 πορθμοῦ μέχρι στηλῶν· τοὺς μὲν τρισχιλίους ἐῶ φησιν,
εἴτ' εὖ λαμβάνονται, εἴτε μή· τοὺς δ' ἑπτακισχιλίους

k Strabonis verba, quibus suum de Polybio judicium interponit, *uncis* inclusi.
l λαοδογματικὰς correxi cum Tyrwh. Vulgo ὁ ὅλας δογματ. ubi ὅλως pro ὅλας suspicatus erat Casaub. Sequentia satis-ne integra sint nescio. Fuit quum suspicarer legendum ἃς ποιεῖται (vel ποιοῦνται) Ἐρατοσθένης τε καὶ Δικαίαρχος, et deinde ἀλλ' οὐδ' αὐτὸς ἐν οἷς. Conferenda cum h. l. verba Strabonis lib. VII. p. 317. Τοιαῦτα δὲ καὶ τοῦ Ἐρατοσθένους ἔνια παρακρούσματα ἐστὶ λαοδογματικά, [sic cum Tyrwh. scribo pro vulg. λαοδογματικῶς,] καθάπερ Πολύβιός φησι, καὶ περὶ αὐτοῦ καὶ περὶ τῶν ἄλλων λέγων συγγραφέων.

usque ad fines mundi perlustrasse se, dicit; quod ne Mercurio quidem dicenti crederes. Interim *Eratosthenem*, qui Evhemerum *Bergæum* adpellet, Pytheæ credere, cui tamen ne Dicæarchus quidem credidit. [Jam id quidem ridiculum est, quod *Dicæarchum* profert; quasi vero conveniat, eum veluti normam sequi, quem ipse Polybius tot reprehensionibus incessit. Quanta autem fuerit Eratosthenis ignorantia occiduarum et septemtrionalium Europæ partium, dictum est. Verum huic quidem et Dicæarcho danda est venia, qui loca ista non viderunt: *Polybio* autem et Posidonio quis ignoscat?] Atqui is est Polybius, qui, quæ isti de locorum horum distantiis et aliis multis pronunciant, *ex vulgi opinione arrepta* ait; cum ne in his quidem, in quibus illos reprehendit, vitio ipse careat.

VI. Certe cum *Dicæarchus* a Peloponneso ad columnas decies mille stadia numeret, atque plura his, si quis Adriatici sinus oram usque ad ultimum recessum legerit; quumque universi itineris, ad columnas instituti, eam partem, quæ ad fretum usque Siculum procedit, trium millium esse dicat, ut reliqua sint a Siculo freto ad columnas: septem millia: POLYBIUS

Polybius contra Dicæarchum,

οὐδετέρως, οὐδὲ τὴν παραλίαν ἐμμετροῦντι, οὔτε τὴν
διὰ μέσου τοῦ πελάγους. Τὴν μὲν γὰρ παραλίαν 3
ἐοικέναι μάλιστ' ἀμβλείᾳ γωνίᾳ, βεβηκυίᾳ ἐπί τε τοῦ
πορθμοῦ καὶ τῶν στηλῶν, κορυφὴν δ' ἐχούσῃ Ναρβῶνα.
Ὥστε συνίστασθαι τρίγωνον, βάσιν ἔχον τὴν διὰ τοῦ 4
πελάγους εὐθεῖαν, πλευρὰς δὲ τὰς τὴν γωνίαν ποιούσας
τὴν λεχθεῖσαν· ὧν ἡ μὲν ἀπὸ τοῦ πορθμοῦ μέχρι 5
Νάρβωνος, μυρίων ἐστὶ καὶ πλειόνων ἢ διακοσίων ἐπὶ
τοῖς χιλίοις· ἡ δὲ λοιπὴ, μικρῷ [m]λεῖπον ἐλαττόνων ἢ
ὀκτακισχιλίων. Καὶ τὸ πλεῖστον μὲν διάστημα ἀπὸ 6
τῆς Εὐρώπης ἐπὶ τὴν Λιβύην ὁμολογεῖσθαι κατὰ τὸ
Τυῤῥηνικὸν πέλαγος, σταδίων οὐ πλειόνων ἢ τρισχιλίων·
κατὰ τὸ Σαρδώνιον δὲ λαμβάνειν συναγωγήν. ἀλλ'
ἔστω, φησὶ, καὶ ἐκεῖνο τρισχιλίων· [n]προειλήφθω δ' ἐπὶ 7
τούτοις, δισχιλίων σταδίων τὸ τοῦ κόλπου βάθος [o]τοῦ
κατὰ Ναρβῶνα, ὡς ἂν κάθετος ἀπὸ τῆς κορυφῆς ἐπὶ τὴν
βάσιν τοῦ ἀμβλυγωνίου. Δῆλον οὖν, φησὶν, ἐκ τῆς 8
παιδικῆς μετρήσεως, ὅτι ἡ σύμπασα παραλία ἡ ἀπὸ
τοῦ πορθμοῦ ἐπὶ στήλας ἔγγιστα ὑπερέχει τῆς διὰ τοῦ
πελάγους εὐθείας πεντακοσίοις σταδίοις. Προστεθέντων 9
δὲ τῶν ἀπὸ τῆς Πελοποννήσου ἐπὶ τὸν πορθμὸν τρισχιλίων, οἱ σύμπαντες ἔσονται στάδιοι, αὐτοὶ ἐπ' εὐθείας,

[m] λεῖπον correxi. Vulgo λοιπὸν. [n] πρόσειλήφθω suspicatus et interpretatus erat Casaub. *adjiciantur.* [o] ex conject. scripsi. Vulgo τὸ κατὰ Ναρβ.

ait, de tribus millibus se non disputare, vere ne an falso ponantur; sed septem illa millia neque mensuræ oræ maritimæ convenire, neque per medium pelagus ductæ lineæ respondere. Nam oram maritimam *obtuso angulo* maxime similem esse, *freto* et *columnis* insistenti, cujus vertex sit *Narbo:* ita ut efficiatur triangulum, cujus basis sit recta linea per altum ducta mare; latera vero, lineæ illæ quæ prædictum angulum constituunt. Horum laterum illud, quod a Siculo freto est Narbonem usque, stadia habet undecies mille ducenta et amplius: alterum vero paullo minus est octo stadiorum millibus. Jam longissimum quidem ab Europa ad Africam intervallum, quod secundum mare Tyrrhenum est, ex omnium confesso non amplius esse, ait, stadiorum ter mille, in Sardoo autem mari fieri minus. Verum esto, inquit, etiam hoc trium millium. Sumantur de hac summa stadia bis mille, quæ est profunditas sinus, quem efficit mare ad Narbonem, ut hic sit cathetus, ex vertice trianguli obtusanguli in basin demissus. Adparet ex Geometriæ legibus, quas in scholis pueri discunt, totam maritimam oram, a freto usque ad columnas, quingentis fere stadiis excedere lineam rectam per pelagus ductam. Quod si igitur adjicias tria millia, quæ sunt a Peloponneso ad fretum, oritur summa stadiorum (si ipsam per se lineam rectam spectes) amplius altero tanto major quam illa

10 πλείους ἢ διπλάσιοι ὧν Δικαίαρχος εἶπε. πλείους δὲ de distantia
τούτων, τοὺς ἐπὶ τὸν μυχὸν τὸν Ἀδριατικὸν, δεήσῃ, a Peloponn.
11 φησὶ, τιθέναι κατ' ἐκεῖνον. Ἀλλ', ὦ φίλε Πολύβιε, ad fret. Herc.
φαίη τις ἂν, ὥσπερ τούτου τοῦ ψεύσματος ἐναργῆ
παρίστησι τὸν ἔλεγχον ἡ πεῖρα ἐξ αὐτῶν ὧν εἴρηκας
12 αὐτός· [p] εἰς μὲν Λευκάδα ἐκ Πελοποννήσου ἑπτακοσίους,
ἐντεῦθεν δὲ τοὺς ἴσους εἰς Κέρκυραν, καὶ πάλιν ἐντεῦθεν
εἰς τὰ Κεραύνια τοὺς ἴσους, καὶ ἐν δεξιᾷ εἰς τὴν
Ἰαπυγίαν, ἀπὸ δὲ τῶν Κεραυνίων τὴν Ἰλλυρικὴν παρα-
13 λίαν σταδίων ἑξακισχιλίων ἑκατὸν πεντήκοντα· οὕτως
κἀκεῖνα ψεύσματά ἐστιν ἀμφότερα, καὶ ὃ Δικαίαρχος
εἶπε, τὸ ἀπὸ πορθμοῦ ἐπὶ στήλας εἶναι σταδίων ἑπτα-
14 κισχιλίων, καὶ ὃ σὺ δοκεῖς ἀποδεῖξαι. ὁμολογοῦσι γὰρ
οἱ πλεῖστοι, τὸ διὰ πελάγους μυρίων εἶναι καὶ δισχι-
λίων.

*

VII. Ἑξῆς δὲ τὰ τοῦ Ἐρατοσθένους ἐπανορθοῖ· τὰ Polybius et
2 μὲν εὖ, τὰ δὲ χεῖρον λέγων ἢ ἐκεῖνος. Ἐξ Ἰθάκης μὲν Eratosth.
γὰρ εἰς Κέρκυραν τριακοσίους εἰπόντος, πλείους φησὶν
εἶναι τῶν ἐννακοσίων· ἐξ Ἐπιδάμνου δὲ εἰς Θεσσα-
λονίκειαν ἐννακοσίους ἀποδόντος, πλείους τῶν δισχιλίων
3 φησί. ταῦτα μὲν εὖ. Ἀπὸ δὲ Μασσαλίας ἐπὶ στήλας de longitudine
λέγοντος ἑπτακισχιλίους, ἀπὸ δὲ Πυρήνης ἑξακισχι- Hispaniæ.
λίους, αὐτὸς λέγει χεῖρον πλείους ἢ ἐννακισχιλίους τοὺς

[p] Depravatum ac mutilum esse locum, monuit Casaub. qui v. 11. post ἡ πεῖρα excidisse nonnulla suspicatus est.

summa, quæ est a *Dicæarcho* posita. Atque huic summæ addendus præterea, secundum eumdem *Dicæarchum*, fuerit ille numerus stadiorum, quem complectitur ora Adriatici sinus. At, mi *Polybi!* dixerit aliquis, quemadmodum hoc mendacium evidenter refellit experientia, ex his ipsis quæ tute tradidisti: a Peloponneso ad Leucadem esse stadia DCC; inde totidem ad Corcyram; totidemque rursus hinc ad montes Ceraunios et a dextra ad Apuliam; a Cerauniis autem, oram Illyrici VI millia centum et quinquaginta: ita utrumque falsum est, et quod *Dicæarchus* a freto ad columnas posuit spatium septem millium stadiorum, et quod tu videris tibi demonstrasse. Plurimi enim in hoc consentiunt, per pelagus esse iter duodecim millium.

*

VII. Post hæc POLYBIUS corrigit *Eratosthenis dicta;* quædam recte, quædam illo deterius dicens. Cum enim is ab Ithaca Corcyram usque trecenta stadia metiatur, amplius DCCCC iste ponit: et cum ab Epidamno Thessalonicam nongenta *Eratosthenes* stadia numeret, plura duobus millibus *Polybius* ponit. Et hæc quidem recte. Sed cum idem ille a Massilia ad Columnas VII millia, a Pyrene vero VI millia ponat; *Polybius*, minus recte,

Polyb. et Eratosth. ἀπὸ Μασσαλίας, ἀπὸ δὲ Πυρήνης μικρὸν ἐλάττους ἢ
ὀκτακισχιλίους· ἐγγυτέρω γὰρ τῆς ἀληθείας ἐκεῖνος
εἴρηκεν. Οἱ γὰρ νῦν ὁμολογοῦσιν, εἴ τις τὰς τῶν ὁδῶν 4
ἀνωμαλίας ὑποτέμνοιτο, μὴ μείζω τῶν ἑξακισχιλίων
σταδίων εἶναι τὸ μῆκος τὴν σύμπασαν Ἰβηρίαν ἀπὸ
Πυρήνης ἕως τῆς ἑσπερίου πλευρᾶς. Ὁ δ' αὐτὸν τὸν 5
Τάγον ποταμὸν ὀκτακισχιλίων σταδίων τίθησι τὸ μῆκος
ἀπὸ τῆς πηγῆς μέχρι τῶν ἐκβολῶν, οὐ δήπου τὸ σὺν
τοῖς σκολιώμασιν, (οὐ γὰρ γεωγραφικὸν τοῦτο) ἀλλ'
ἐπ' εὐθείας λέγων· καίτοι γε ἀπὸ Πυρήνης αἱ τοῦ
Τάγου πηγαὶ πλέον διέχουσιν ἢ χιλίους σταδίους.
de Gallis in Hispan. Πάλιν δὲ τοῦτο μὲν ὀρθῶς ἀποφαίνεται, ὅτι ἀγνοεῖ τὰ 6
Ἰβηρικὰ ὁ Ἐρατοσθένης, καὶ διότι περὶ αὐτῆς ἔσθ' ὅπου
τὰ μαχόμενα ἀποφαίνεται· ὅς γε μέχρι Γαδείρων ὑπὸ 7
Γαλατῶν περιοικεῖσθαι φήσας [q]τὸ ἔξωθεν αὐτῆς, εἴ γε
τὰ πρὸς δύσιν τῆς Εὐρώπης μέχρι Γαδείρων ἔχουσιν
ἐκεῖνοι· τούτων οὖν ἐκλαθόμενος κατὰ τὴν τῆς Ἰβηρίας
de longitudine Europæ. περίοδον, τῶν Γαλατῶν οὐδαμοῦ μέμνηται. [r]Τὸ δὲ 8
μῆκος τῆς Εὐρώπης ὅτι ἔλαττόν ἐστι τοῦ συνάμφω τῆς
τε Λιβύης καὶ τῆς Ἀσίας ἐκτιθεὶς, οὐκ ὀρθῶς τὴν
σύγκρισιν ποιεῖται. τὸ μὲν γὰρ στόμα τὸ κατὰ στήλας 9
φησὶν ὅτι κατὰ τὴν ἰσημερινὴν δύσιν ἐστὶν, ὁ δὲ Τάναϊς
ῥεῖ ἀπὸ θερινῆς ἀνατολῆς· ἐλαττοῦται δὴ τῶν συνάμφω 10

[q] Adjeci articulum ex scriptis libris, quos laudat Casaub. Sed nec sic satis integra atque sana videtur oratio. [r] Conjunctionem ex conject. adjeci.

a Massilia, ait, amplius esse IX millibus, a Pyrene vero paullo pauciora VIII millibus: in quo ille sane propius aberravit a veritate. Qui enim hodie ista tractant, inter eos convenit, si quis itinerum inæqualitates demat, totius Hispaniæ longitudinem a Pyrena usque ad occiduum latus non excedere VI stadiorum millia. At hic ipsi etiam Tago fluvio, a fontibus usque ad ostia, longitudinem VIII millium stadiorum tribuit; non scilicet obliquitatum habita ratione, (id enim parum geographicum foret,) sed rectam lineam intelligens: atqui fontes Tagi a Pyrena amplius mille stadiis distant. Rursus vero hoc quidem vere adfirmat, *rerum Hispanicarum* ignarum esse *Eratosthenem*, et de ista regione interdum etiam pugnantia pronunciare: qui, cum dixisset, usque ad Gades oram ejus habitari a Gallis, (si modo occidua Europæ usque Gades incolunt illi,) horum oblitus, in Hispaniæ circuitu describendo nusquam Gallorum facit mentionem. Sed ubi docet, *longitudinem Europæ* minorem esse longitudine Asiæ et Africæ simul sumtarum, ibi comparationem non recte instituit. Nam fauces, quæ ad Columnas sunt, ait esse versus *occasum æquinoctialem*, Tanaim autem fluere ab *æstivo ortu:* igitur conjuncta Asiæ et Africæ longitudine mino-

μήκους, *τοῦ μεταξὺ τῆς θερινῆς ἀνατολῆς καὶ τῆς ἰσημερινῆς· τοῦτο γὰρ ἡ Ἀσία προλαμβάνει πρὸς τὴν ἰσημερινὴν ἀνατολὴν τοῦ πρὸς τὰς ἄρκτους ἡμικυκλίου. Polyb. et Eratosth.

* *

11 Προπεπτωκυίας δὲ τῆς Εὐρώπης ἄκραις πλείοσι, βέλτιον μὲν οὗτος εἴρηκεν Ἐρατοσθένους περὶ αὐτῶν, de promontoriis Europæ.
12 οὔπω δὲ ἱκανῶς. Ἐκεῖνος μὲν γὰρ τρεῖς ἔφη· τὴν ἐπὶ τὰς στήλας καθήκουσαν, ἐφ' ἧς ἡ Ἰβηρία· καὶ τὴν ἐπὶ τὸν πορθμὸν, ἐφ' ἧς ἡ Ἰταλία· καὶ τρίτην τὴν κατὰ Μαλέας, ἐφ' ἧς τὰ μεταξὺ τοῦ Ἀδρίου καὶ τοῦ
13 Εὐξείνου πάντ' ἔθνη, καὶ τοῦ Ταναΐδος. Οὗτος δὲ τὰς μὲν δύο τὰς πρώτας ὁμοίως ἐκτίθεται· τρίτην δὲ, τὴν κατὰ Μαλέαν καὶ Σούνιον, ἐφ' ἧς ἡ Ἑλλὰς πᾶσα καὶ
14 ἡ Ἰλλυρὶς καὶ τῆς Θρᾴκης τινά· τετάρτην δὲ, τὴν κατὰ τὴν Θρακίαν χερρόνησον, ἐφ' ἧς τὰ κατὰ τὸν Σηστὸν καὶ Ἄβυδον στενὰ, ἔχουσι δ' αὐτὴν Θρᾷκες· πέμπτην δὲ, τὴν κατὰ τὸν Κιμμερικὸν βόσπορον καὶ τὸ στόμα τῆς Μαιώτιδος.

* Forsan τῷ μεταξὺ.

rem esse Europam eo spatio, quod inter ortum æstivum et ortum æquinoctialem interjacet; illud enim spatium semicirculi septemtrionalis ab ortu æstivo ad ortum æquinoctialem Asia occupat.

* *

At enim cum Europa pluribus procurrat *promontoriis;* POLYBIUS de his rectius, quam *Eratosthenes;* nec tamen ipse satis recte. Eratosthenes enim tria retulit: unum, quod ad Columnas pertinet, quo nititur Hispania; alterum, ad fretum Siculum, quo nititur Italia; tertium, ad Maleam, quo nituntur regiones omnes, quæ inter Adriaticum mare, et Euxinum pontum Tanaimque interjectæ sunt. *Polybius* autem duo quidem priora eodem modo recenset: tertium autem ponit illud, quod ad Maleam et Sunium est, cui imminet Græcia omnis et Illyricum et pars Thraciæ: quartum, illud quod ad Chersonesum Thracicam est, ad quam sunt fauces ad Sestum et Abydum, tenent autem Thraces: quintum, illud quod ad Bosporum Cimmericum est et ad Mæotidis ostium.

IV. *De* LUSITANIA.

* * *

Thynnus glande vescitur.

VIII. ΠΟΛΥΒΙΟΣ ὁ Μεγαλοπολίτης, ἐν τετάρτῃ καὶ τριακοστῇ τῶν Ἱστοριῶν, περὶ τῆς ἐν Ἰβηρίᾳ Λυσιτανίας χώρας διαλεγόμενος, φησὶν, ὅτι βάλανοί εἰσι κατὰ βάθος ἐν τῇ αὐτόθι θαλάττῃ πεφυτευμέναι, ὧν τὸν καρπὸν σιτουμένους τοὺς θύννους πιαίνεσθαι. Διόπερ 2
οὐκ ἂν ἁμάρτοι τις, λέγων ὗς εἶναι θαλαττίους τοὺς θύννους. εἰσὶ γὰρ οἱ θύννοι οἷον ὗες ἀπὸ τῶν βαλάνων αὐξανόμενοι.

*

Λέγει δ' ὁ Πολύβιος, καὶ μέχρι τῆς Λατίνης ἐκπέμ- 3
πειν τὴν βάλανον ταύτην· εἰ μὴ ἄρα, φησὶ, καὶ ἡ Σαρδὼ φέρει καὶ ἡ πλησιόχωρος ταύτῃ.

*

Lusitaniæ felix temperies.

Τὴν κατὰ Λυσιτανίαν (χώρα δ' ἔστιν αὕτη τῆς 4
Ἰβηρίας, ἣν νῦν Ῥωμαῖοι Ἱσπανίαν ὀνομάζουσι) διηγούμενος εὐδαιμονίαν Πολύβιος ὁ Μεγαλοπολίτης ἐν τῇ τετάρτῃ καὶ τριακοστῇ τῶν Ἱστοριῶν, φησὶν, ὡς αὐτόθι διὰ τὴν τοῦ ἀέρος εὐκρασίαν καὶ τὰ ζῶα πολύγονα καὶ ἄνθρωποι, καὶ οἱ ἐν τῇ χώρᾳ καρποὶ οὐδέποτε φθείρονται.
Ῥόδα μὲν γὰρ αὐτόθι, καὶ λευκόϊα, καὶ ἀσπάραγοι, 5
καὶ τὰ παραπλήσια τούτοις, οὐ πλεῖον διαλείπει μηνῶν τριῶν. Τὸ δὲ θαλάττιον ὄψον, καὶ κατὰ τὸ πλῆθος, 6

IV.

* * *

(*Athenæus lib.* VII. *c.* 14.)

VIII. POLYBIUS Megalopolitanus *libro XXXIV Historiarum*, de Lusitania Hispaniæ regione agens, scribit, in profundo ad mare ibi *glandiferas quercus* gigni, quarum fructu *thynni* vescantur et pinguescant. Quapropter a vero haud aberraverit, si quis *thynnos* esse *marinos porcos* dixerit, quia veluti sues glande pascuntur et augescunt.

*

(*Strabo lib.* III. *p.* 145.)

Polybius tradit, hanc *glandem* ab æstu maris etiam ad Latium usque deferri: nisi forte (ait) Sardinia etiam eam generat et vicina loca.

*

(*Athenæus, initio libri* VIII.)

Lusitaniæ felicitatem (ea regio Iberiæ est, quam Hispaniam Romani vocant) describens *Polybius libro XXXIV Historiarum*, narrat, ibi ob cœli temperiem et homines fœcundos esse et animantia reliqua, et fructus in ea regione numquam interire. Rosas quidem illic, et leucoia, et asparagos, et alia his similia, non amplius tribus mensibus cessare. Obsonium autem

καὶ κατὰ τὴν χρηστότητα, καὶ κατὰ τὸ κάλλος,
μεγάλην ἔχει διαφορὰν πρὸς τὸ γιγνόμενον ἐν τῇ καθ'
7 ἡμᾶς θαλάττῃ. Καὶ ὁ μὲν τῶν κριθῶν σίκλος (μέδι-
μνος) ἐστὶ δραχμῆς· ὁ δὲ τῶν πυρῶν, ἐννέα ὀβολῶν
8 Ἀλεξανδρινῶν· τοῦ δ' οἴνου, δραχμῆς, ὁ μετρητής.
Καὶ ἔριφος ὁ μέτριος ὀβολοῦ, καὶ λαγώς. τῶν δ' ἀρνῶν
τριόβολον καὶ τετρώβολον ἡ τιμή. ὗς δὲ πίων, ἑκατὸν
9 μνᾶς ἄγων, πέντε δραχμῶν· καὶ πρόβατον δυεῖν. τά-
λαντον δὲ σύκων, τριῶν ὀβολῶν. μόσχος δραχμῶν πέντε,
10 καὶ βοῦς ζύγιμος δέκα. Τὰ δὲ τῶν ἀγρίων ζώων κρέα
σχεδὸν οὐδὲ καταξιοῦται τιμῆς· ἀλλ' ἐν ἐπιδόσει καὶ
χάριτι τὴν ἀλλαγὴν ποιοῦνται τούτων.

V. *De* Hispania.



IX. ΤΟΥΣ τὴν Βαιτικὴν ἐνοικοῦντας, Τουρδητανούς Turdetani
2 τε καὶ Τουρδούλους προαγορεύουσιν· οὓς οἱ μὲν τοὺς et Turduli.
αὐτοὺς νομίζουσιν, οἱ δ' ἑτέρους· ὧν ἐστι καὶ Πολύβιος,
συνοίκους φήσας τοῖς Τουρδητανοῖς πρὸς ἄρκτον τοὺς
3 Τουρδούλους. . . Τῇ δὲ τῆς χώρας εὐδαιμονίᾳ καὶ τὸ
ἥμερον καὶ τὸ πολιτικὸν συνηκολούθησε τοῖς Τουρδητα-
νοῖς, καὶ τοῖς Κελτικοῖς δὲ διὰ τὴν γειτνίασιν, ὡς Celtici.
εἴρηκε Πολύβιος, καὶ τὴν συγγένειαν.

marinum et copia et bonitate et pulcritudine longe superare illud quod in nostro gignitur mari. Et hordei quidem siclus, id est modius, drachma emitur; tritici vero, Alexandrinis obolis novem: vini amphora, drachma. Mediocris hædus, obolo; lepus, tantidem. Agni pretium, tres vel quatuor oboli: porci pinguis, centum librarum pondo, quinque drachmæ: ovis, duæ drachmæ. Ficuum talentum obolis tribus constat: vitulus, quinque drachmis; bos jugatorius, decem. Agrestium vero animalium carnes pretio fere nullo censeri; sed gratuito dari, et auctarii vice, cum alias merces permutant.

V.

(*Strabo lib.* III. *p.* 139 *et* 151.)

IX. *BŒTICÆ* incolas, *Turdetanos* vocant et *Turdulos.* Hos quidem eumdem, alii diversos populos censent: in quibus est *Polybius*, Turdetanos Turdulorum ad septemtrionem vicinos esse tradens. . . . Apud *Turdetanos* vero ex agri fertilitate mansuetudo etiam morum et civilitas est consecuta: idemque et apud *Celticos* obtinuit propter vicinitatem, ut ait *Polybius*, et propter cognationem.

*

Columnæ.

Καὶ Δικαίαρχος δὲ, καὶ Ἐρατοσθένης, καὶ Πολύ- 4
βιος, καὶ οἱ πλεῖστοι τῶν Ἑλλήνων, περὶ τὸν πορθμὸν
ἀποφαίνουσι τὰς στήλας.

*

Fons singularis naturæ Gadibus.

Φησὶ δὲ Πολύβιος, κρήνην ἐν τῷ Ἡρακλείῳ τῷ ἐν 5
Γαδείροις εἶναι, βαθμῶν ὀλίγων κατάβασιν ἔχουσαν εἰς
τὸ ὕδωρ, πότιμον δὲ εἶναι· ἣν ταῖς παλιῤῥοίαις τῆς
θαλάττης ἀντιπαθεῖν, κατὰ μὲν τὰς πλήμας ἐκλείπου-
σαν, κατὰ δὲ τὰς ἀμπώτεις πληρουμένην. Αἰτιᾶται δ', 6
ὅτι τὸ πνεῦμα τὸ ἐκ τοῦ βάθους εἰς τὴν ἐπιφάνειαν τῆς
γῆς ἐκπίπτον, κατακαλυφθείσης μὲν αὐτῆς ὑπὸ τοῦ
κύματος κατὰ τὰς ἐπιβάσεις τῆς θαλάττης, εἴργεται
τῶν τοιούτων ἐξόδων οἰκείων, ἀναστρέψαν δὲ εἰς τὸ ἐντὸς,
ἐμφράττει τοὺς τῆς πηγῆς πόρους, καὶ ποιεῖ λειψυ-
δρίαν· γυμνωθείσης δὲ πάλιν, εὐθυπορῆσαν, ἐλευθεροῖ 7
τὰς φλέβας τῆς πηγῆς, ὥστ' ἀναβλύειν εὐπόρως.

*

Argentea metalla.

Πολύβιος δὲ τῶν περὶ Καρχηδόνα Νέαν ἀργυρείων 8
μνησθεὶς, μέγιστα μὲν εἶναι φησὶ, διέχειν δὲ τῆς πόλεως
ὅσον [t] εἴκοσι σταδίους, περιειληφότα κύκλον τετρακοσίων
σταδίων· ὅπου τέτταρας μυριάδας ἀνθρώπων μένειν τῶν 9

[t] Alii ὀκτὼ, *octo stadia.*

*

(*Strabo lib.* III. *p.* 170.)

Dicæarchus, Eratosthenes, *Polybius*, plurimique Græcorum, ad fretum esse *Columnas Herculeas* contendunt.

*

(*Strabo lib.* III. *p.* 172.)

Scribit POLYBIUS, *Gadibus* in templo Herculis *fontem* esse, ad cujus aquas paucorum sit graduum descensus, potui aptas: qui ad æstus maris contraria plane ratione sit adfectus, cum sub exundationem maris deficiat, et defluente eo impleatur. Caussam rei confert in spiritum, qui e profundo, ut ait, in superficiem terræ exit: qua superficie sub maris adfluxu aquis cooperta, spiritum, quum solitis suis exitibus privetur, introrsum reverti ait, obstructisque fontis meatibus aquas intercludere; rursusque denudata aquis superficie, recta progredientem, venas fontis liberare obstructione, ut copiose adeo ebulliat aqua.

*

(*Strabo lib.* III. *p.* 147. *seq.*)

POLYBIUS, mentionem *argenteorum metallorum* faciens, quæ sunt ad *Novam* Carthaginem, esse ea ait maxima, ab urbe ad XX stadia dissita, circulum CCCC stadiorum complectentia. Ibi XL millia hominum in labore

ἐργαζομένων, ἀναφέροντας τότε τῷ δήμῳ τῶν Ῥωμαίων καθ' ἑκάστην ἡμέραν δισμυρίας καὶ πεντακισχιλίας
10 δραχμάς. Τὴν δὲ κατεργασίαν τὴν μὲν ἄλλην ἐῶ· μακρὰ γάρ ἐστι. τὴν δὲ συρτὴν βῶλον τὴν ἀργυρῖτιν, [illegible]
φησὶ, κόπτεσθαι, καὶ κοσκίνοις εἰς ὕδωρ διαιρᾶσθαι· κόπτεσθαι δὲ πάλιν τὰς ὑποστάσεις, καὶ πάλιν διηθου-
11 μένας ἀποχεομένων τῶν ὑδάτων κόπτεσθαι· τὴν δὲ πέμπτην ὑπόστασιν, χωνευθεῖσαν ἀποχυθέντος τοῦ μολύβδου, καθαρὸν τὸ ἀργύριον ἐξάγειν.

⁂

12 Πολύβιος καὶ τὸν Ἄναν καὶ τὸν Βαῖτιν ἐκ τῆς Κελτιβηρίας ῥεῖν φησὶ, διέχοντας ἀλλήλων ὅσον ἐννακοσίους σταδίους.

⁂

13 Πολύβιος, τὰ τῶν Οὐακκαίων καὶ τῶν Κελτιβήρων ἔθνη καὶ χωρία δεξιῶν, συλλέγει ταῖς ἄλλαις πόλεσι καὶ Σεγεσάμαν καὶ Ἰντερκατίαν.

⁂

14 Τοιοῦτόν τινα ὑφίσταται τῇ κατασκευῇ καὶ λαμ- Luxuria regis Hispani.
15 πρότητι Πολύβιος Ἴβηρός τινος βασιλέως [u] οἶκον. ὃν καὶ ἐζηλωκέναι λέγει τὴν τῶν Φαιάκων τρυφὴν, πλὴν τοῦ τοὺς κρατῆρας ἐν μέσῳ τῆς οἰκίας ἑστάναι πλήρεις οἴνου κριθίνου, ἀργυροῦς ὄντας καὶ χρυσοῦς.

[u] *οἶκον* correxi. Vulgo *οἰκίαν*.

versari, atque in singulos dies tunc temporis XXV millia drachmarum in ærarium populi Romani inferre. Jam totam rationem conficiendi argenti, quia longum est, omitto narrare. *Glebam* autem, *quæ amnibus devehitur, argentariam* contundi, ait, et cribris in aqua suspendi: tum rursus, quæ subsederunt, contundi ac percolari: aliquoties id repeti: quod quinto subsedit, id liquari; atque ita, plumbo defuso, purum argentum produci.

*

Polybius et *Anam* et *Bætim* e Celtiberia profluere ait, distantes invicem ad DCCCC stadia. (*Strabo lib.* III. *p.* 148.)

*

Polybius, *Vaccæorum* et Celtiberorum populos ac loca recensens, inter alias urbes *Segesamam* refert et *Intercatiam*. (*Strabo lib.* III. *p.* 162.)

*

(*Athenæus lib.* I. *cap.* 14.)

Tales *ædes*, structura et ornamentis splendentes, Polybius depingit *regis cujusdam Hispani*, quem æmulatum fuisse *Phæacum* etiam *luxum* adfirmat; nisi quod in media domo *vino hordeaceo* plena stabant pocula aurea atque argentea.

VI. *De* GALLIA.

*

Pisces sub terra.

x. ΠΟΛΥΒΙΟΣ, ἐν τῇ τετάρτῃ καὶ τριακοστῇ τῶν
Ἱστοριῶν, μετὰ τὴν Πυρήνην, φησὶν, ἕως τοῦ Νάρβωνος
ποταμοῦ πεδίον εἶναι, δι' οὗ φέρεσθαι ποταμοὺς [x] Ἰλέ-
βερνιν καὶ Ῥόσκυνον, ῥέοντας παρὰ πόλεις ὁμωνύμους,
κατοικουμένας ὑπὸ Κελτῶν. Ἐν οὖν τῷ πεδίῳ τούτῳ 2
εἶναι τοὺς λεγομένους ἰχθῦς ὀρυκτούς. Εἶναι δὲ τὸ 3
πεδίον λεπτόγειον, καὶ πολλὴν ἄγρωστιν ἔχον πεφυ-
κυῖαν· ὑπὸ δὲ ταύτην διάμμου τῆς γῆς οὔσης [y] ἐπὶ δύο
καὶ τρεῖς πήχεις, ὑποῤῥεῖν τὸ πλαζόμενον [z] ὑπὸ τῶν
ποταμῶν ὕδωρ. μεθ' οὗ ἰχθύες κατὰ τὰς παρεκχύσεις 4
ὑποτρέχοντες ὑπὸ τὴν γῆν χάριν τῆς τροφῆς, (φιληδοῦσι
γὰρ τῇ τῆς ἀγρώστεως ῥίζῃ,) πεποιήκασι πᾶν τὸ πεδίον
πλῆρες ἰχθύων ὑπογείων, οὓς ἀνορύττοντες λαμβάνουσιν.

*

Rhodani ostia.

Περὶ δὲ τῶν τοῦ Ῥοδανοῦ στομάτων Πολύβιος ἐπι- 5
τιμᾷ Τιμαίῳ, φήσας, εἶναι μὴ πεντάστομον, ἀλλὰ
δίστομον.

*

Corbilo emporium.

Ὁ Λείγηρ μεταξὺ Πικτόνων καὶ Ναμνήτων ἐκβάλ- 6
λει. Πρότερον δὲ Κορβίλων ὑπῆρχεν ἐμπορεῖον ἐπὶ

[x] Rectius Ἰλίβυῤῥιν καὶ Ῥουσκίνωνα apud Strab. [y] ἐπὶ δύο ex conject. scripsi. Vulgo ὑπὸ δύο. [z] ἀπὸ voluerat Casaub.

VI.

*

(*Athenæus lib.* VIII. *cap.* 2.)

x. POLYBIUS *Libro XXXIV Historiarum* scribit, a Pyrenæis montibus ad Narbonem usque campos esse, per quos *Iliberis* et *Ruscino* fluvii juxta oppida ejusdem nominis a Gallis habitatas decurrunt. In illis igitur campis *fossiles* quos vocant *pisces* reperiri. Eorum nempe locorum tenue esse solum, ac subnascente multo graminc herbosum. Sub eo vero quum ad duos tresve cubitos arenosa sit terra, subtus diffundi et penetrare aquam, quæ ex fluviis infra terram vagatur. Cum illa aqua, ubi diffunditur, simul sub terram penetrant pisces, pabuli caussa; amant enim radices graminis: atque ita universus campus *piscium subterraneorum* plenus est, quos effodiunt homines capiuntque.

*

(*Strabo lib.* IV. *p.* 183.)

De *Rhodani ostiis* Timæum reprehendit Polybius, dicens, non quinque esse, sed duo.

*

Ligeris amnis inter Pictones et Namnetes effluit. Fuit autem olim super Ligerim *Corbilo* emporium: cu-

τούτῳ τῷ ποταμῷ, περὶ ἧς εἴρηκε Πολύβιος, μνησθεὶς
7 τῶν ὑπὸ Πυθέου μυθολογηθέντων· ὅτι Μασσαλιωτῶν
μὲν, τῶν συμμιξάντων Σκιπίωνι, οὐδεὶς εἶχε λέγειν οὐδὲν
μνήμης ἄξιον, ἐρωτηθεὶς ὑπὸ Σκιπίωνος, ὑπὲρ τῆς Βρετ-
τανικῆς, οὐδὲ τῶν ἐκ Ναρβῶνος, οὐδὲ τῶν ἐκ Κορβι-
λῶνος, αἵπερ ἦσαν ἄρισται πόλεις τῶν ταύτῃ· Πυθέας
δ' ἐθάῤῥησε ψεύσασθαι τοσαῦτα.

*

8 Πολύβιος καὶ ἰδιόμορφον ζῶον γεννᾶσθαί φησιν ἐν Alces in Alpibus.
ταῖς Ἄλπεσιν, ἐλαφοειδὲς τὸ σχῆμα, πλὴν αὐχένος καὶ
9 τριχώματος, ταῦτα δὲ ἐοικέναι κάπρῳ· ὑπὸ δὲ τῷ
γενείῳ πυρῆνα ἴσχειν ὅσον σπιθαμαῖον, ἀκρόκομον, πω-
λικῆς κέρκου τὸ πάχος.

*

10 Ἔτι, φησὶ Πολύβιος, ἐφ' ἑαυτοῦ κατ' Ἀκυληΐαν
μάλιστα, ἐν τοῖς Ταυρίσκοις τοῖς Νωρικοῖς, εὑρεθῆναι
χρυσεῖον οὕτω εὐφυὲς, ὥστ' ἐπὶ δύο πόδας ἀποσύραντι
11 τὴν ἐπιπολῆς γῆν, εὐθὺς ὀρυκτὸν εὑρίσκεσθαι χρυσόν. τὸ
δ' ὄρυγμα μὴ πλειόνων ὑπάρχειν ἢ πεντεκαίδεκα ποδῶν.
12 Εἶναι δὲ τοῦ χρυσοῦ τὸ μὲν αὐτόθεν καθαρὸν, κυάμου
μέγεθος ἢ θέρμου, τοῦ ὀγδόου μόνον ἀφεψηθέντος· τὸν
δὲ, δεῖσθαι μὲν χωνείας πλείονος, σφόδρα δὲ λυσιτελοῦς.
13 Συνεργασαμένων δὲ τοῖς βαρβάροις τῶν Ἰταλιωτῶν, ἐν
διμήνῳ παραχρῆμα τὸ χρυσίον εὐωνότερον γενέσθαι τῷ

jus Polybius, ubi Pytheæ commenta refert, mentionem facit, dicens: nec *Massiliensium* quemquam ex iis, qui Scipionem convenerunt, quidquam habuisse quod dicerent memoratu dignum, interrogati a Scipione, de Britannia, nec *Narbonensium*, nec *Corbilonensium;* cum hæ tres urbes Galliæ omnium essent nobilissimæ. Atqui Pytheas tot atque tanta de illa nugari est ausus. (*Strabo lib.* IV. *p.* 190.)

*

Polybius tradit, animal etiam peculiare in Alpibus nasci, cervi specie, excepto collo et pilis, quibus aprum imitatur: illud infra mentum veluti nucleum enatum habere, spithamæ fere longitudine, in imo crinitum, crassitie caudæ pulli equini. (*Idem ib. p.* 207 *sq.*)

*

Polybius auctor est, sua ætate apud *Aquileiam* maxime, in Tauriscis Noricis, aurifodinam ita divitem fuisse repertam, ut exhausta ad duorum pedum altitudinem terra, statim occurreret *aurum fossile:* fossam autem xv pedes non excessisse. Et aurum quidem aliud statim purum exstitisse, fabæ aut lupini magnitudine, octava tantum parte decocta: aliud autem diligentiore quidem fusione indiguisse, sed ea admodum utili. Itaque quum Itali operam sociassent cum barbaris, post duos statim menses auri pretium per universam Ita-

τρίτῳ μέρει καθ' ὅλην τὴν Ἰταλίαν. αἰσθανομένους δὲ 14
τοὺς Ταυρίσκους, μονοπωλεῖν, ἐκβάλλοντας τοὺς συνεργαζομένους.

*

Alpium magnitudo et altitudo.

Ὁ δ' αὐτὸς ἀνὴρ περὶ τοῦ μεγέθους τῶν Ἄλπεων 15
καὶ τοῦ ὕψους λέγων, παραβάλλει τὰ ἐν τοῖς Ἕλλησιν
ὄρη τὰ μέγιστα, τὸ Ταΰγετον, τὸ Λύκαιον, Παρνασσὸν,
Ὄλυμπον, Πήλιον, Ὄσσαν· ἐν δὲ Θρᾴκῃ Αἷμον,
Ῥοδόπην, Δούνακα. Καί φησιν, ὅτι τούτων μὲν ἕκα- 16
στον μικροῦ δεῖν αὐθημερὸν εὐζώνοις ἀναβῆναι δυνατὸν,
αὐθημερὸν δὲ καὶ περιελθεῖν· τὰς δ' Ἄλπεις οὐδ' ἂν 17
πεμπταῖος ἀναβαίη τις· τὸ δὲ μῆκος ἐστὶ δισχιλίων
καὶ διακοσίων σταδίων, τὸ παρῆκον παρὰ τὰ πεδία.

Transitus Alpium.

Τέτταρας δ' ὑπερβάσεις ὀνομάζει μόνον· διὰ Λιγύων 18
μὲν, τὴν ἔγγιστα τῷ Τυῤῥηνικῷ πελάγει· εἶτα τὴν διὰ
Ταυρίνων, ἣν Ἀννίβας διῆλθεν· εἶτα τὴν διὰ Σαλασσῶν·
τετάρτην δὲ, τὴν διὰ Ῥαιτῶν· ἁπάσας κρημνώδεις.

Lacus in Alpibus.

Λίμνας δὲ εἶναί φησιν ἐν τοῖς ὄρεσι πλείους μὲν, τρεῖς 19
δὲ μεγάλας· ὧν ἡ μὲν Βήνακος ἔχει μῆκος πεντακοσίων
σταδίων, πλάτος δὲ ἑκατὸν πεντήκοντα, ἐκεῖ δὲ ποταμὸς
Μίγκιος· ἡ δ' ἑξῆς Οὐερβανὸς, τετρακοσίων, πλάτος δὲ 20
τριάκοντα στενωτέρα τῆς πρότερον, ἐξίησι δὲ ποταμὸν
τὸν Τίκινον· τρίτη δὲ, Λάριος, μῆκος ἐγγὺς τριακοσίων 21

liam tertia parte esse imminutum. Quod ubi senserunt Taurisci, ejectis eos operæ sociis solos auri commercium sibi vindicasse. (*Strabo lib.* IV. *p.* 208.)

*

(*Strabo ibid. p.* 208. *seq.*)

Idem Polybius, *de Alpium magnitudine et altitudine* verba faciens, maximos Græciæ montes cum illis contendit, ut Taygetum, Lycæum, Parnassum, Olympum, Pelium, Ossam; tum Thraciæ montes, Æmum, Rhodopen, Dunacem. Aitque, horum unumquemque unius propemodum diei spatio expeditum viatorem conscendere posse, eodemque temporis spatio circumire. At *Alpes* ne intra quintum quidem diem facile aliquis conscenderit: longitudinem autem, juxta campestria porrectam, esse stadiorum bis mille ducentorum. Quatuor vero tantummodo *transitus earum* nominat: primum, per Ligures, proxime Etruscum mare; alterum, per Taurinos, quo usus est Hannibal; tertium, per Salassos; quartum per Rhætos: quos omnes ait præcipites ac præruptos. *Lacus* in Alpibus ait esse complures, tres autem majores: quorum *Benacus* in longum D stadia occupet, in latum CL: quo ex lacu *Mincius amnis* effluit. Post istum *Verbanus lacus* CD stadia in longitudinem patet, XXX stadiis angustior priore: is amnem emittit *Ticinum.* Tertius lacus est *Larius*, longus fere

σταδίων, πλάτος δὲ τριάκοντα, ποταμὸν δὲ ἐξίησι μέγαν Ἄδουαν· πάντες δ' εἰς τὸν Πάδον συῤῥέουσι.

VII. *De* Italia.

*

XI. ΠΟΛΥΒΙΟΣ διάφορον οἶνον ἐν Καπύῃ φησὶ γίγνεσθαι, τὸν ἀνανδενδρίτην καλούμενον, ᾧ μηδένα συγκρίνεσθαι. Vinum arbustivum.

*

2 Φησὶ Πολύβιος, πεζῇ μὲν εἶναι τὴν παραλίαν τὴν ἀπὸ Ἰαπυγίας μέχρι πορθμοῦ καὶ τρισχιλίων σταδίων· κλύζεσθαι δὲ αὐτὴν τῷ Σικελικῷ πελάγει· πλέοντι δὲ καὶ πεντακοσίων δέουσαν. Iter ab Iapygio ad fretum.

*

3 Τῆς Τυῤῥηνίας μῆκος τὸ μέγιστον εἶναί φασι τὴν παραλίαν ἀπὸ Λούνης μέχρι Ὠστείων, δισχιλίων που καὶ πεντακοσίων σταδίων· . . . Πολύβιος δ' οὐκ εἶναι τοὺς πάντας ‚αυλ' λέγει. Etruriæ longitudo.

*

4 Αἰθάλη, νῆσος Τυρσηνῶν. . . Πολύβιος δ' ἐν Τριακοστῇ τετάρτῃ λέγει, Αἰθάλειαν τὴν Λῆμνον καλεῖσθαι.

*

5 Κρατῆρα καλοῦσι τὸν κόλπον, τὸν ἀπὸ τοῦ Μισηνοῦ Crater.

CCC, latus XXX stadia: is *Aduam* magnum flumen emittit. Omnes autem isti fluvii in *Padum* confluunt.

VII.

*

(*Athenæus lib.* I. *cap.* 24.)

XI. POLYBIUS, excellens vinum Capuæ nasci scribit, quod *arbustivum* vocant, quocum nullum sit conferendum. . . . . . .

*

(*Strabo lib.* V. *pag.* 211.)

Polybius scribit, pedestre *iter ab Iapygio ad fretum* per oram, quæ mari Siculo adluitur, stadiorum esse ad ter mille; navigationem vero ne D quidem implere stadia.

*

Etruriæ longitudo maxima traditur per litus a *Luna* usque ad *Ostia*, stadiorum fere quingentorum super bis mille. . . . *Polybius* vero, summam totam, ait, non implere MCDXXX stadia. (*Strabo lib.* V. *p.* 222.)

*

Æthale, insula Tyrrhenorum. . . Polybius vero Libro XXXIV ait, *Lemnum Æthaleam nominari.*

*

Craterem vocant sinum, duobus pro-

μέχρι τοῦ Ἀθηναίου, δυοῖν ἀκρωτηρίων, κολπούμενον.
ὑπὲρ δὲ τούτων τῶν ἠϊόνων Καμπανία πᾶσα ἵδρυται,
πεδίον εὐδαιμονέστατον τῶν ἁπάντων. . . Ἀντίοχος μὲν 6
Opici et Ausones. οὖν φησι τὴν χώραν ταύτην Ὀπικοὺς οἰκῆσαι, τούτους
δὲ καὶ Αὔσονας καλεῖσθαι. Πολύβιος δ' ἐμφαίνει, δύο 7
ἔθνη νομίζων ταῦτα· Ὀπικοὺς γάρ φησι καὶ Αὔσονας
οἰκεῖν τὴν χώραν ταύτην περὶ τὸν Κρατῆρα.

*

Sila: an Spina? Πολύβιος ἀπὸ τῆς Ἰαπυγίας μεμιλιᾶσθαί φησι, καὶ 8
εἶναι μίλια φξβʹ εἰς [a] Σίλαν πόλιν· ἐντεῦθεν δ' εἰς
Ἀκυληΐαν ροηʹ.

*

Lacinium. Μετὰ δὲ ταῦτα τὸ Λακίνιον, Ἥρας ἱερὸν, πλούσιόν 9
ποτε ὑπάρξαν, καὶ πολλῶν ἀναθημάτων μεστόν. Τὰ 10
διάρματα δ' οὐκ εὐκρινῶς λέγεται· πλὴν ὥς γε ἐπὶ τὸ
πολὺ σταδίους ἀπὸ πορθμοῦ μέχρι Λακινίου Πολύβιος
ἀποδίδωσι δισχιλίους καὶ τʹ. ἐντεῦθεν δὲ καὶ δίαρμα 11
εἰς ἄκραν Ἰαπυγίαν ψʹ.

*

Crateres in Hiera ins. Πολύβιος τῶν τριῶν κρατήρων (τῆς Ἱέρας Ἡφαίστου) 12
τὸν μὲν κατερρυηκέναι φησὶν ἐκ μέρους, τοὺς δὲ συμμέ-
νειν· τὸν δὲ μέγιστον τὸ χεῖλος ἔχειν περιφερὲς, ὃν 13

[a] An Σπίναν?

montoriis, Miseno et Minervæ, inclusum. Supra illas vero oras sita est universa *Campania*, omnium planitierum felicissima. . . *Antiochus* igitur ab *Opicis* habitatam fuisse ait illam regionem, eosdemque et *Ausonas* adpellari. At POLYBIUS significat, pro duabus diversis gentibus se illos habere: ait enim, *Opicos et Ausones habitare illam regionem, quæ circa Craterem est.* (*Strab. lib.* V. *p.* 242.)

Polybius auctor est, ab *Iapygio* dimensa esse *milliaria*, esseque ad *Silam* [*Spinam?*] usque urbem milliaria DLXII, atque inde *Aquileiam* CLXXVIII. (*Strabo lib.* VI. *p.* 285.)

*

Inde *Lacinium*, Junonis templum, dives quondam, multisque refertum donariis. Trajectuum vero intervalla non distincte traduntur; nisi quod POLYBIUS a freto usque ad Lacinium prodit esse fere stadia bis mille trecenta, atque inde trajectum ad Iapygium promontorium, septingenta. (*Strabo lib.* VI. *p.* 261.)

*

(*Strabo lib.* VI. *p.* 276.)

POLYBIUS ex tribus *Crateribus* (qui sunt in *Hiera* vel *Vulcani insula*) unum aliqua sui parte collapsum esse ait, reliquos duo superesse: ac ma-

πέντε σταδίων, κατ' ὀλίγον δὲ συνάγεσθαι [b] εἰς ν' ποδῶν Crateres in Hiera ins.
14 διάμετρον· καθ' οὗ βάθος εἶναι τὸ μέχρι θαλάττης
15 σταδιαῖον, ὥστε καθορᾶν ταῖς νηνεμίαις. . . Ἐὰν μὲν
οὖν νότος μέλλῃ πνεῖν, ἀχλὺν ὁμιχλώδη καταχεῖσθαι
κύκλῳ φησὶ τῆς νησίδος, ὥστε μήτε τὴν Σικελίαν
16 ἄπωθεν φαίνεσθαι. ὅταν δὲ βορέας, φλόγας καθαρὰς
ἀπὸ τοῦ λεχθέντος κρατῆρος εἰς ὕψος ἐξαίρεσθαι, καὶ
βρόμους ἐκπέμπεσθαι μείζους. τὸν δὲ ζέφυρον μέσην
17 τινὰ ἔχειν τάξιν. Τοὺς δ' ἄλλους κρατῆρας, ὁμοειδεῖς
μὲν εἶναι, τῇ δὲ βίᾳ λείπεσθαι τῶν ἀναφυσημάτων.
18 Ἔκ τε δὴ τῆς διαφορᾶς τῶν βρόμων, καὶ ἐκ τοῦ πόθεν
ἄρχεται τὰ ἀναφυσήματα καὶ αἱ φλόγες καὶ αἱ
λιγνύες, προσημαίνεσθαι καὶ τὸν εἰς ἡμέραν τρίτην
19 πάλιν μέλλοντα ἄνεμον πνεῖν. Τῆς γοῦν ἐν Λιπάραις
γενομένης [c] ἀπνοίας, προειπεῖν τινας [d] τὸν σεισμὸν, καὶ
20 μὴ διαψεύσασθαι. Ἀφ' οὗ δὴ τὸ μυθωδέστατον δοκοῦν
εἰρῆσθαι τῷ ποιητῇ, οὐ μάτην φαίνεσθαι λεχθὲν, ἀλλ'
[e] αἰνιξαμένου τὴν ἀλήθειαν, ὅταν φῇ ταμίαν τῶν ἀνέμων
τὸν Αἴολον.

[b] In Epitome Strabonis est εἰς λ' ποδῶν. [c] ἀπνοίας revocavi ex vett. libris. ἀπλοίας Casaub. *facultate navigandi negata.* [d] τὸν σεισμὸν ex Aristot. correxi. Vulgo τὸν ἐσόμενον. Unde vel τὸν ἐσόμ. ἄνεμον, vel τὸ ἐσόμενον, suspic. est Casaub. [e] αἰνιξαμένῳ videtur legend.

ximi quidem orificium rotundum esse, ambitu fere quinque stadiorum; paulatim vero in arctum coire, ut diameter sit quinquaginta pedum. Profunditatem crateris usque ad mare, quod in imo est, mensuram stadii æquare, ita ut sereno aere, nec ventis turbido, conspici mare in fundo possit. . . Idem refert, austro spiraturo nebulam caliginosam circa insulam circumfundi, ut ne Sicilia quidem eminus cernatur: sub aquilonis vero flatum, puras flammas e prædicto cratere in altum adtolli, majoresque edi fremitus: Zephyrum, medium quoddam tenere. Reliquos autem crateres ejusdem quidem esse formæ, sed non tanta vi exsufflationis præditos. Ceterum ex ipso fremituum discrimine, et ex initio efflationum flammarumque aut fuliginum, ante significari, quis tertio post die spiraturus sit ventus. Certe quidem et in Liparis, cum *tranquillus aër* est, nec ventus ullus spirat, *terræ motum* nonnullos ait prædicere, neque eos falli. Eaque de caussa id, quod maxime fabulose videtur a Poëta dictum, adparere, non frustra pronunciatum esse; sed ænigmatice significatam ab eo veritatem, cum *Æolum ventorum promum* adpellat.

VIII. *De* Thracia, Macedonia, *et* Græcia.

*

Æmus mons.

XII. ΠΡΟΣ τῷ Πόντῳ τὸ Αἷμόν ἐστιν ὄρος, μέγιστον
τῶν ταύτῃ καὶ ὑψηλότατον, μέσην πως διαιροῦν τὴν
Θρᾴκην· ἀφ' οὗ φησὶ Πολύβιος ἀμφοτέρας καθορᾶσθαι 2
τὰς θαλάττας, οὐκ ἀληθῆ λέγων· καὶ γὰρ τὸ διά-
στημα μέγα τὸ πρὸς Ἀδρίαν, καὶ τὰ ἐπισκοτοῦντα
πολλά.

*

Via Ignatia.

Ἐκ δὲ τῆς Ἀπολλωνίας εἰς Μακεδονίαν ἡ [f]Ἐγνατία 3
ἐστὶν ὁδὸς πρὸς ἕω, βεβηματισμένη κατὰ μίλιον, καὶ
κατεστηλωμένη μέχρι Κυψέλου καὶ Ἕβρου ποταμοῦ.
μιλίων δ' ἐστὶ πεντακοσίων τριάκοντα πέντε. λογι- 4
ζομένων δὲ, ὡς μὲν οἱ πολλοὶ, τὸ μίλιον ὀκταστάδιον,
τετρακισχίλιοι ἂν εἶεν στάδιοι, καὶ ἐπ' αὐτοῖς διακόσιοι
ὀγδοήκοντα. ὡς δὲ Πολύβιος, προστιθεὶς τῷ ὀκτασταδίῳ 5
δίπλεθρον, ὅ ἐστι τρίτον σταδίου, προσθετέον ἄλλους
σταδίους ἑκατὸν ἑβδομήκοντα ὀκτὼ, τὸ τρίτον τοῦ τῶν
μιλίων ἀριθμοῦ. Συμβαίνει δ' ἀπὸ ἴσου διαστήματος 6
συμπίπτειν εἰς τὴν αὐτὴν ὁδὸν τούς τ' ἐκ τῆς Ἀπολ-
λωνίας ὁρμηθέντας καὶ τοὺς ἐξ Ἐπιδάμνου. Ἡ μὲν 7
οὖν πᾶσα Ἐγνατία καλεῖται· ἡ δὲ πρώτη ἐπὶ Καν-
δαουΐας λέγεται, ὄρους Ἰλλυρικοῦ, διὰ Λυχνιδίου πό-
λεως, καὶ Πυλῶνος, τόπου ὁρίζοντος ἐν τῇ ὁδῷ τήν τε

[f] Sic MSti. Vulgo Ἰγνατία.

VIII.

*

(*Strabo lib.* VII. *p.* 313.)

XII. AD Pontum pertingit *Æmus* mons, maximus eorum, qui in istis sunt partibus, et altissimus, mediam fere dividens Thraciam. Ex hoc monte *Polybius* utrumque mare ait cerni; falso: nam et magnum est ad Adriam usque intervallum, et multa quæ visum impediant.

*

(*Strabo lib.* VII. *p.* 322.)

Ab Apollonia in Macedoniam *Ignatia* est *via* orientem versus, distincta per milliaria, ad singula posito lapide, usque ad Cypselum et Ebrum fluvium, et continet millia passuum DXXXV. Quod si pro mille passibus (ut receptum est apud plerosque) VIII stadia supputes, stadia habebis CCLXXX supra quater mille. Sin POLYBIUM sequare, qui *octo stadiis duo jugera addit*, id est trientem stadii; addenda sunt adhuc CLXXVIII stadia, triens numeri milliarium. Post idem autem itineris spatium in eamdem viam incidunt et qui ab Apollonia et qui ab Epidamno proficiscuntur. Tota igitur *via* ista *Ignatia* vocatur. Prima autem ejus pars *per Candaviam* dicitur, Illyrici montem; ductaque est per *Lychnidium* oppidum, et per *Pylonem*, qui locus in via distinguit Illy-

8 Ἰλλυρίδα καὶ τὴν Μακεδονίαν· ἐκεῖθεν δ' ἔστι παρὰ
Βαρνοῦντα, διὰ Ἡρακλείας, καὶ Λυγκηστῶν, καὶ
Ἐορδῶν, εἰς Ἔδεσαν καὶ Πέλλαν μέχρι Θεσσαλονι-
9 κείας. μίλια δ' ἐστὶ, φησὶ Πολύβιος, ταῦτα διακόσια
ἑξήκοντα ἑπτά. κ. τ. λ.

*

10 Ἡ τῆς Πελοποννήσου περίμετρος, μὴ κατακολπί- Peloponnesi ambitus.
ζοντι, τετρακισχιλίων σταδίων, ὡς Πολύβιος.

*

11 Πολυβίου δ' εἰρηκότος τὸ ἀπὸ Μαλεῶν ἐπὶ τὰς
ἄρκτους μέχρι τοῦ Ἴστρου διάστημα περὶ μυρίους
σταδίους, εὐθύνει τοῦτο Ἀρτεμίδωρος οὐκ ἀτόπως· κατ'
ἐκεῖνον γὰρ [g] συμβαίνει ἑξακισχιλίων πεντακοσίων.
12 Αἴτιον δὲ τούτου, τὸ μὴ τὴν σύντομον καταμετρεῖν,
ἀλλὰ τὴν τυχοῦσαν, ἣν ἐπορεύθη τῶν στρατηγῶν τίς.

IX. *De* Asia.

*

XIII. ΤΑ δ' ἀπ' εὐθείας τούτοις μέχρι τῆς Ἰνδικῆς, Mensura distantiarum.
τὰ αὐτὰ κεῖται καὶ παρὰ τῷ Ἀρτεμιδώρῳ, ἅπερ καὶ
2 παρὰ τῷ Ἐρατοσθένει. Λέγει δὲ καὶ Πολύβιος, περὶ
3 τῶν ἐκεῖ μάλιστα δεῖν πιστεύειν ἐκείνῳ. Ἄρχεται δὲ

[g] συμβαίνει ex conject. et ex mente Casauboni correxi. Malim vero συμβαίνει εἶναι; ex quibus vulgatum συμβαίνειν corruptum videtur.

ricum a Macedonia. Inde juxta *Barnuntem* per *Heracleam, Lyncestas, Eordos*, ad *Edessam* et *Pellam* pergitur, usque ad *Thessalonicam*. Sunt autem hæc, ut Polybius ait, CCLXVII milliaria. &c.

Peloponnesi circuitus, siquidem sinus non intres, quater mille stadiorum est, auctore *Polybio*. (*Strabo lib.* VIII. *p.* 335.)

*

Polybium, a *Maleis* versus septemtrionem ad *Istrum* usque intervallum circiter decem millium stadiorum numerantem, non inepte corrigit *Artemidorus*, qui id spatium desinit sex mille quingentis stadiis. Causam errori præbuit, quod non brevissimum interstitium *Polybius* est dimensus, sed qualiscumque itineris a copiarum duce aliquo facti intervallum adnotavit. (*Strabo lib.* VIII. *p.* 389.)

IX.

*

XIII. Quæ hinc (ab *Euphrate* amne, et a *Tomisa*, Sophenæ oppido) ad rectam sunt lineam usque ad Indiam, eodem modo Artemidorus et Eratosthenes tradunt. Dicit autem Polybius, de illis regionibus *Eratostheni* maxime fidem esse habendam. Inci-

ἀπὸ Σαμοσάτων τῆς Κομμαγηνῆς, ἣ πρὸς τῇ διαβάσει
καὶ τῷ Ζεύγματι κεῖται. Εἰς δὲ Σαμόσατα ἀπὸ 4
τῶν ὅρων τῆς Καππαδοκίας τῶν περὶ Τόμισαν ὑπερθέντι
τὸν Ταῦρον, σταδίους εἴρηκε τετρακοσίους καὶ πεντή-
κοντα.

X. *De* ALEXANDRIA *Ægypti.*

*

Tria genera incolarum.

XIV. Ο ΓΟΥΝ Πολύβιος, γεγονὼς ἐν τῇ πόλει,
(Ἀλεξανδρείᾳ) βδελύττεται τὴν τότε κατάστασιν. καὶ 2
φησὶ, τρία γένη τὴν πόλιν οἰκεῖν· τό τε Αἰγύπτιον καὶ
ἐπιχώριον φῦλον, ὀξὺ, καὶ πολιτικόν· καὶ τὸ μισθοφο- 3
ρικὸν, πολὺ, καὶ ἀνάγωγον· ἐξ ἔθους γὰρ παλαιοῦ
ξένους ἔτρεφον τοὺς τὰ ὅπλα ἔχοντας, ἄρχειν μᾶλλον,
ἢ ἄρχεσθαι δεδιδαγμένους διὰ τὴν τῶν βασιλέων οὐδέ-
νειαν. Τρίτον δ' ἦν γένος τὸ τῶν Ἀλεξανδρέων, οὐδ' 4
αὐτὸ εὐκρινῶς πολιτικὸν, διὰ τὰς αὐτὰς αἰτίας, κρεῖτ-
τον δ' ἐκείνων ὅμως· καὶ γὰρ, εἰ μιγάδες, Ἕλληνες 5
ὅμως ἀνέκαθεν ἦσαν, καὶ ἐμέμνηντο τοῦ κοινοῦ τῶν
Ἑλλήνων ἔθους· ἠφανισμένου δὲ καὶ [h] τούτου τοῦ πλή- 6
θους, μάλιστα ὑπὸ τοῦ Εὐεργέτου τοῦ Φύσκωνος, καθ'
ὃν ἧκεν εἰς τὴν Ἀλεξάνδρειαν ὁ Πολύβιος. καταστα- 7
σιαζόμενος γὰρ ὁ Φύσκων, πλεονάκις τοῖς στρατιώταις

[h] An τούτων?

pit autem a Samosatis Commagenæ, urbe ad transitum et ad Zeugma sita. Ad Samosata autem a finibus Cappadociæ, qui superato Tauro sunt ad Tomisam, stadia ait esse quadringenta et quinquaginta. (*Strabo lib.* XIV. *p.* 663. *seq.*)

X.

*

(*Strabo lib.* XVII. *p.* 797 *sq.*)

XIV. POLYBIUS quidem, cum in illa urbe (*Alexandriæ*) fuisset, statum eum, qui tunc fuit, detestatur. Narrat autem, *tria hominum genera* urbem habitare: *Ægyptiacam* et indigenam nationem, acrem, et civilem: tum *mercenariorum militum* genus, numerosum, ac refractarium: nam ex antiquo more peregrinos milites alebant, qui imperare potius, quam servire didicerant, propter regum vilitatem. Tertium genus erat, *Alexandrinorum*, nec id valde civile, propter easdem causas; melius tamen, quam illi. Nam, quamquam mixta convenarum turba, tamen origine Græci erant, et communis Græcorum moris non omnino erant immemores. Sed horum quoque magna pars interiit, sub *Evergete Physcone* maxime; quo regnante *Polybius* Alexandriam venit. *Physcon* enim, cum seditionibus divexaretur, sæpenumero plebem militibus

8 ἠφίει τὰ πλήθη, καὶ διέφθειρε. Τοιούτων δὴ, φησὶν, ὄντων τῶν ἐν τῇ πόλει, λοιπὸν ἦν τῷ ὄντι τὸ τοῦ ποιητοῦ,

Αἴγυπτον δ' ἰέναι δολιχὴν ὁδὸν ἀργαλέην τε.

Odyss. Δ. 481.

objecit et interfecit. Hoc urbis statu, ait *Polybius*, restabat revera id quod Poëta dixit:

Longum iter exantlatur in Ægyptum atque molestum.

ΤΗΣ ΤΡΙΑΚΟΣΤΗΣ ΠΕΜΠΤΗΣ

ΤΩΝ ΠΟΛΥΒΙΟΥ ΙΣΤΟΡΙΩΝ

ΤΑ ΣΩΖΟΜΕΝΑ.

I.
BELLUM CELTIBERICUM.

* * *

Ol. 157. 1.
A. U. 603.
Igneum bellum.

1. [a] ΠΥΡΙΝΟΣ πόλεμος ὁ [b] Ῥωμαίων πρὸς Κελτίβηρας συσταθείς. θαυμαστὸν γὰρ ἔσχε τὴν ἰδιότητα,
2 τήν τε συνέχειαν τῶν ἀγώνων. Τοὺς γὰρ κατὰ τὴν Ἑλλάδα πολέμους, καὶ τοὺς κατὰ τὴν Ἀσίαν, ὡς ἐπίπαν [c] μία μάχη κρίνει, σπανίως δὲ δευτέρα, καὶ τὰς μάχας αὐτὰς εἷς καιρὸς, ὁ κατὰ τὴν πρώτην ἔφοδον
3 καὶ σύμπτωσιν τῆς δυνάμεως. Κατὰ δὲ τοῦτον τὸν
4 πόλεμον τἀναντία συνέβαινε τοῖς προειρημένοις. Τοὺς μὲν γὰρ κινδύνους, ὡς ἐπίπαν, ἡ νὺξ διέλυε, τῶν ἀνδρῶν οὔτ' εἴκειν τῇ ψυχῇ, οὔτε παρακαθιέναι τοῖς σώμασι βουλομένων διὰ τὸν κόπον, ἀλλ' ἐξ ὑποστροφῆς καὶ
5 μεταμελείας αὖθις ἄλλας ἀρχὰς ποιουμένων. Τόν γε

[a] Probabili utique ratione ad Polybium auctorem Fragmentum hoc retulerant Ursin. et Casaub. [b] Rectiùs Ῥωμαίοις. [c] Vocab. μία ex conject. adjecit Casaub.

I.

* * *

(*Apud Suidam in* Πύρινος πόλεμος.)

1. BELLUM *igneum* dictum est illud bellum, quod *Romani* cum *Celtiberis* gesserunt. Mirabilis enim hujus belli ratio fuit, et continua in eo præliorum series. Nam Græcanica et Asiatica bella unum plerumque prælium finire solet, raro alterum: et ipsa prælia primo conflictu et concursu copiarum utplurimum finiuntur. Hoc vero bello secus accidit. Nam prælia plerumque nox dirimebat, quod viri et animis pertinaciter resisterent, nec corporum contentionem vellent remittere, quantumvis fatigati; sed quasi pœnitentia ducti reverterentur, et prælium subinde redintegrarent. At totum

Ol. 157. 1. μὴν ὅλον πόλεμον καὶ τὴν συνέχειαν τῶν ἐκ [d]παρατάξεως διακρίσεων ὁ χειμὼν ἐπιπόνως διεῖργε. Καθόλου 6
γὰρ, εἴ τις διανοηθείη πύρινον πόλεμον, οὐκ ἂν ἕτερον ἢ τοῦτον νοήσειε.

* * *

Marcellus in Hispan.

II. Ἐπειδὴ οἱ Κελτίβηρες, ἀνοχὰς ποιησάμενοι πρὸς Μάρκον Κλαύδιον, τὸν στρατηγὸν τῶν Ῥωμαίων, ἐξαπέστειλαν τὰς πρεσβείας εἰς τὴν Ῥώμην· οὗτοι μὲν τὴν ἡσυχίαν ἦγον, καραδοκοῦντες τὴν ἀπόφασιν τῆς συγκλήτου· Μάρκος δὲ, στρατεύσας εἰς τοὺς Λυσιτανοὺς, καὶ 2
τὴν [e]Νερκόβρικα πόλιν κατὰ κράτος ἑλὼν, ἐν Κορδύβᾳ τὴν παραχειμασίαν ἐποιεῖτο. Τῶν δὲ πρέσβεων εἰς τὴν 3

Legatio Bellorum et Tittorum.

Ῥώμην παραγενομένων, τοὺς μὲν παρὰ τῶν Βελλῶν καὶ [f]Τίττων, ὅσοι τὰ Ῥωμαίων ᾑροῦντο, παρεδέξαντο πάν-

Aravacarum.

τας εἰς τὴν πόλιν· τοὺς δὲ παρὰ τῶν [g]Ἀραυακῶν πέραν 4
τοῦ Τιβέρεως ἐκέλευσαν κατασκηνοῦν, διὰ τὸ πολεμίους ὑπάρχειν, ἕως βουλεύσωνται περὶ τῶν ὅλων. Γενομένου 5
δὲ καιροῦ πρὸς ἔντευξιν, κατὰ πόλιν ὁ στρατηγὸς εἰσῆγε

Oratio sociorum.

[h]πρότερον τοὺς συμμάχους. Οἱ δὲ, καίπερ ὄντες βάρ- 6
βαροι, διετίθεντο λόγους, καὶ πάσας ἐξευκρινεῖν ἐπει-

[d] παρατάξεως cum Ursino correxit Casaub. Apud Suidam vulgo mendose διατάξεως. [e] Vulgo Ἐρκόβρικα. Adjeci literam initialem. Nescio, an Νερτόβρικα scripserit Polyb. et an huc pertineat Fragm. apud Suid. in Ἐμβριθεστ. Εἷλε δὲ πόλιν Ὀρτόβριγα, (scr. Νερτόβριγα,) δοκοῦσαν κατὰ τὸ μέγεθος καὶ κατὰ τὸ πλῆθος τῶν ἀνθρώπων ἐμβριθεστάτην εἶναι. *Cepit urbem Ortobriga, (Nertobriga,) quæ tam propter magnitudinem, quam hominum multitudinem, potentissima esse videbatur.* [f] Τίττων revocavi ex codd. Ursinus in notis ad h. l. sic monuit "Scribe Τίγγων, ex loco inferiore et Ptolemæo." Ursini typographus conjecturam editoris Τίγγων præpropere in contextum recepit unde in reliquas ed. transiit. [g] Ἀραυακῶν et h. l. et deinde ex conject. scripsi. Vulgo Ἀρανακῶν Ἀρανάκαι et edd. et MSti. Ἀρουάκαι et Ἀρουακῶν malim. [h] πρότερον correxit Urs. πρὸς MSti. Forsan πρώτους debuerant.

bellum et continua prælia vix hiems diremit. Omnino enim, si quis *Igneum bellum* cogitet, non aliud, nisi hoc, animo concipiet.

* * *

(*Legatio CXLI.*)

II. *Celtiberi*, inducias pacti cum *M. Claudio*, imperatore Romano, Romam suos legatos miserunt: ac tunc quidem exspectantes responsum senatus, quieti se continebant. At Marcus, expeditione facta adversus Lusitanos, postquam urbem *Nercobricam* vi cepisset, Cordubæ hiberna agebat. Romam vero ubi venerunt legati; qui quidem a *Bellis et Tittis*, partis Romanæ populis, missi erant, ii omnes in urbem sunt admissi: at quos *Aravacæ* miserant, quod ea gens esset inimica, donec de tota illorum caussa deliberatum esset a patribus, ultra Tiberim tendere sunt jussi. Dein ubi visum est commodum dari eis senatum, socios primum separatim cujusque civitatis introduxit prætor. Illi etsi erant barbari, orationem tamen habuerunt, qua de variis suorum ge-

7 ρῶντο τὰς διαφοράς· ὑποδεικνύντες, ὡς, εἰ μὴ συστή- A. U. 603. Oratio sociorum.
σονται καὶ τεύξονται τῆς ἁρμοζούσης κολάσεως οἱ πεπο-
λεμηκότες, παραυτίκα μὲν, ἐπανελθόντων τῶν Ῥωμαϊ-
κῶν στρατοπέδων ἐκ τῆς Ἰβηρίας, ἐκ χειρὸς προσ-
επιθήσουσι τὴν δίκην αὐτοῖς, ὡς προδόταις γεγονόσι·
8 ταχὺ δὲ πάλιν αὐτοὶ κινήσουσι πραγμάτων ἀρχὴν, ἐὰν
ἀνεπιτίμητοι διαφεύγωσιν ἐκ τῆς πρώτης ἁμαρτίας·
ἑτοίμους δὲ πάντας πρὸς καινοτομίαν ποιήσουσι τοὺς
κατὰ τὴν Ἰβηρίαν, ὡς ἱκανοὶ γεγονότες ἀντίπαλοι Ῥω-
9 μαίοις. Διόπερ ἠξίουν, ἢ μένειν τὰ στρατόπεδα κατὰ
τὴν Ἰβηρίαν, καὶ διαβαίνειν καθ' ἕκαστον ἔτος ὕπατον,
ἐφεδρεύσοντα τοῖς συμμάχοις, καὶ κολάσοντα τὰς
10 Ἀραυακῶν ἀδικίας· ἢ, βουλομένους ἀπάγειν τὰς δυ-
νάμεις, παραδειγματιστέον εἶναι τὴν τῶν προειρημένων
ἐπανάστασιν, ἵνα μηδεὶς ἔτι ποιεῖν θαῤῥῇ τὸ παρα-
11 πλήσιον τούτοις. Οἱ μὲν οὖν Βελλῶν καὶ [i]Τίττων
συμμαχοῦντες Ῥωμαίοις ταῦτα καὶ τὰ τούτοις παρα-
12 πλήσια διελέχθησαν. [k]Ἐπὶ δὲ τούτοις [l]εἰσῆγον τοὺς
13 παρὰ τῶν πολεμίων. Οἱ δ' Ἀραυάκαι παρελθόντες, Aravacarum oratio.
κατὰ μὲν τὴν ὑπόκρισιν ἐχρῶντο τοῖς λόγοις ὑποπε-
πτωκότως καὶ ταπεινῶς· τῇ γε μὴν προαιρέσει, ὡς
14 διέφαινον, [m]οὐκ εἰκούσῃ τοῖς λόγοις, οὐδ' ἡττωμένῃ. Καὶ

[i] Τίγων h. l. Bav. Τίγγων Urs. [k] ἐπὶ δὲ τούτοις correxit Ursin. σὺν δὲ τούτοις MSti. [l] εἰσήγαγον Bav. [m] οὐκ εἰκούσῃ τοῖς λόγοις. Casauboni versio, quam his verbis subjunximus, requirebat, putamus, ἐοικυίᾳ non εἰκούσῃ. Nos quidem suspicamur duo verba τοῖς λόγοις vel per oscitantiam librarii e superioribus temere repetita vel ab imperito homine adjecta. Lege simpliciter οὐδ' εἴκουσῃ οὐδ' ἡττωμένῃ hoc sensu *animos non cedentes et invictos* : nisi mavis pro τοῖς λόγοις, τοῖς ὅλοις scribere: ut sit *animos nequaquam cedentes.*

neribus hominum et factionum inter suos enucleate disserebant: ostendebantque, *nisi in ordinem cogerentur et convenienti pœna adficerentur ii, qui bellum contra Romanos gessissent; futurum omnino, ut, simulac Romani exercitus Hispania excessevint, in se, tamquam patriæ proditores, extemplo ab hostibus Romani nominis sæviatur. Nam si præterita maleficia impune ferrent, non multo post novas turbas ab iisdem iri excitatum, facileque eos effecturos, ut ad res novandas omnes in Hispania cum ipsis conspirent, ut qui Romanæ potentiæ sustinendæ pares se præbuissent. Orare igitur, ut vel remanerent in Hispania legiones, ad quas consul quotannis mitteretur, qui præsidio foret sociis, et injurias Aravacarum reprimeret: aut, si revocare exercitus vellent, plane faciendum illis esse, hos ut castigarent exempli caussa; ne posthac in mentem cuiquam veniat, tale quid audere.* Hæc et his similia apud patres conscriptos illi ex *Bellis et Tittis*, qui Romanorum sectam sequebantur, sunt locuti. Secundum hos, legati hostium sunt introducti. Prodeunt igitur in medium *Aravacæ*, demissa atque humili in speciem oratione utentes; ceterum animos præ se ferentes nondum fractos, et qui verbis similes nequaquam essent. Nam et incertos fortunæ casus sæpe comme-

Ol. 157. 1. γὰρ τὰ τῆς τύχης ἄδηλα πολλάκις ὑπεδείκνυον, καὶ τὰς προγεγενημένας μάχας ἀμφιδηρίτους ποιοῦντες, [m]ἐν πάσαις ἔμφασιν ἀπέλιπον ὡς ἐπικυδεστέρων αὐτῶν γεγονότων. Τέλος [n]δ᾽ ἦν [o]τῶν λόγων· εἰ μέν τι δεῖ ῥητὸν πρόστιμον ὑπομένειν τῆς ἀγνοίας, ἀναδέχεσθαι τοῦτο ἔφασαν· τελεσθέντος δὲ τοῦ προστάγματος, ἐπανάγειν ἠξίουν ἐπὶ τὰς κατὰ Τιβέριον ὁμολογίας αὐτοῖς γενομένας πρὸς τὴν σύγκλητον.

Marcelli virtuti dissidit senatus.

III. Οἱ δὲ ἐν τῷ συνεδρίῳ, διακούσαντες ἀμφοτέρων, εἰσήγαγον τοὺς παρὰ τοῦ Μαρκέλλου πρέσβεις. Θεω- 2
ροῦντες δὲ καὶ τούτους ῥέποντας ἐπὶ τὴν διάλυσιν, καὶ τὸν στρατηγὸν προσνέμοντα τὴν αὐτοῦ γνώμην τοῖς πολεμίοις μᾶλλον, ἢ τοῖς συμμάχοις· τοῖς μὲν Ἀραυ- 3
άκαις ἔδωκαν καὶ τοῖς συμμάχοις ἀπόκρισιν, ὅτι Μάρκελλος ἀμφοτέροις ἐν Ἰβηρίᾳ διασαφήσει τὴν τῆς συγκλήτου γνώμην. Οὗτοι δὲ, νομίσαντες τοὺς συμμά- 4
χους ἀληθῆ καὶ συμφέροντα σφίσι λέγειν, τοὺς δὲ Ἀραυάκας ἀκμὴν μεγαλοφρονεῖν, τὸν δὲ στρατηγὸν ὑποδειλιᾶν τὸν πόλεμον· ἐντολὰς ἔδωκαν δι᾽ ἀποῤῥήτων 5
τοῖς παρ᾽ ἐκείνου πρεσβευταῖς, πολεμεῖν γενναίως καὶ τῆς πατρίδος ἀξίως. Ἐπειδὴ δὲ τὸν πόλεμον ἐποιήσαντο 6
κατάμονον, πρῶτον μὲν τῷ Μαρκέλλῳ διαπιστήσαντες, ἕτερον στρατηγὸν ἔμελλον διαπέμπειν εἰς τὴν Ἰβηρίαν·

A. Postumius, L. Licinius Lucullus coss.

ἤδη γὰρ ἔτυχον ὕπατοι τότε καθεσταμένοι, καὶ τὰς 8

[m] ἐν πάσαις ἔμφασιν ex conject. scripsi. ἐν πάσαις ἐμφάσεσι Urs. cum MStis; quod Casaub. mutavit in ἐν πᾶσι τὰς ἐμφάσεις. [n] δ᾽ ἦν correxi cum Reisk. Vulgo δ᾽ εἶναι. [o] τῶν λόγων debetur Ursino. τὸν λόγον MSS.

morabant, et præteritorum temporum pugnas ita ancipiti marte pugnatas significabant, ut existimandum relinquerent, superiores sese ex omnibus præliis discessisse. Exitus autem orationis hic erat, ut dicerent, *si mulctæ nomine pro admissa culpa aliquid certi sibi imperaretur, facturos imperata: id vero ubi fecissent, fœdus restitui sibi postulabant, quod prætore Tiberio cum senatu pepigissent.*

III. Patres, audita utraque hac legatione, eos acciverunt, quos *Marcellus* miserat. Quos quum et ipsos ad pacem proniores esse cernerent, et consulem hostium petitioni potius favere, quam sociorum; responsum *Aravacis* pariter et sociis dederunt, *ambos in Hispania voluntatem senatus a Marcello esse intellecturos.* Iidem tamen, rati, vera esse ac reipublicæ conducibilia, quæ dixerant socii, et Aravacas quidem ingentes admodum spiritus sibi sumere, Marcellum vero bellum metu refugere; legatis, quos ille miserat, arcana dederunt mandata, ut *bellum fortiter, atque uti Romanos decet, gererct.* Decreta autem ita continuatione belli; quia virtuti Marcelli diffidebant, ante omnia de mittendo alio duce cogitarunt: jam enim *novi consules* inierant, *Aulus Postumius* et

ἀρχὰς παρειληφότες, Αὖλος Ποστούμιος καὶ Λεύκιος A. U. 603.
8 Λικίνιος Λεύκολλος. ἔπειτα περὶ τὰς παρασκευὰς ἐγί-
γνοντο φιλοτίμως καὶ μεγαλομερῶς, νομίζοντες, διὰ
ταύτης τῆς πράξεως κριθήσεσθαι τὰ κατὰ τὴν Ἰβηρίαν.
9 Κρατηθέντων μὲν γὰρ τῶν ἐχθρῶν, πάντας ὑπέλαβον
σφίσι ποιήσειν τὸ προσταττόμενον· ἀποστρεψαμένων δὲ
τὸν ἐνεστῶτα φόβον, οὐ μόνον Ἀραυάκας καταθαῤῥήσειν,
[p] ἀλλὰ καὶ τοὺς ἄλλους ἅπαντας.

IV. Ὅσῳ δὲ φιλοτιμότερον ἡ σύγκλητος διέκειτο πρὸς Romana
τὸν πόλεμον, τοσούτῳ σφίσι τὰ πράγματα ἀπέβαινε juventus timet bellum.
2 παραδοξότερα. Τοῦ μὲν γὰρ Κοΐντου, τοῦ τὸν πρότερον
ἐνιαυτὸν στρατηγήσαντος ἐν Ἰβηρίᾳ, καὶ τῶν μετ' αὐτοῦ
στρατευσαμένων, ἠγγελκότων εἰς τὴν Ῥώμην τήν τε
συνέχειαν τῶν ἐκ παρατάξεως κινδύνων, καὶ τὸ πλῆθος
3 τῶν ἀπολωλότων, καὶ τὴν ἀνδρείαν τῶν Κελτιβήρων· τοῦ
δὲ Μαρκέλλου προφανῶς ἀποδειλιῶντος τὸν πόλεμον·
ἐνέπεσέ τις πτοία τοῖς νέοις παράλογος, οἵαν οὐκ ἔφασαν
4 οἱ πρεσβῦται γεγενημένην πρότερον. Εἰς γὰρ τοῦτο
προὔβη τὰ τῆς ἀποδειλίας, ὥστε μήτε χιλιάρχους
προσπορεύεσθαι πρὸς τὴν ἀρχὴν τοὺς ἱκανούς, ἀλλ'
ἐλλείπειν τὰς χώρας· τὸ πρότερον εἰθισμένων πολλα-
5 πλασιόνων προσπορεύεσθαι τῶν καθηκόντων· μήτε τοὺς
εἰσφερομένους ὑπὸ τῶν ὑπάτων πρεσβευτὰς ὑπακούειν,

[p] Verba ἀλλὰ κ. τ. ἄ. ἅπαντας dedit Bav. Desiderantur vulgo, et notata est lacuna.

Lucius Licinius Lucullus. Secundum hæc ad belli adparatus se converterunt, summo adhibito studio, ut omnium rerum ingens suppeteret copia: quod existimarent, bello Hispaniensi finem ea expeditione iri impositum. Nam semel subactis hostibus, omnes imperata facturos rebantur: sin contra evitatum ab iis esset belli hujus periculum, non Aravacas dumtaxat, verum omnes reliquos populos rebellaturos.

IV. Quo autem vehementius in hujus belli curam senatus incumbebat, eo majori fuit admirationi, quod tunc accidit. Quum enim *Quintus* (*Fulvius*), qui anno superiore rem bellicam in Hispania administraverat, et qui sub illo stipendia fecerant, Romam renunciassent, quam adsidue fuisset acie instructa pugnandum, quam multi in iis præliis essent occisi, quanta *Celtiberorum* virtus exstitisset; præterea *Marcello* belli hujus metum palam profitente; ejusmodi pavor juniorum mentes incessit, ut nihil simile umquam accidisse seniores adfirmarent. Tantus enim *terror* animos hominum occupavit, ut neque tribuni, quot erat opus, magistratibus nomina darent, sed vacua relinquerentur loca: cum prius solerent multo plures, quam quibus opus esset, sese offerre; neque legati, quos una cum belli duce oportebat proficisci,

Ol. 137. 1. οὓς ἔδει πορεύεσθαι μετὰ τοῦ στρατηγοῦ· τὸ δὲ μέγι- 6
Timent Romani juvenes. στον, τοὺς νέους διακλίνειν τὰς καταγραφὰς, καὶ τοι-
αύτας πορίζεσθαι προφάσεις, ἃς λέγειν μὲν αἰσχρὸν ἦν,
ἐξετάζειν δ' ἀπρεπὲς, [q]ἐπιτέμνειν δ' ἀδύνατον. Τέλος 7
δὲ, καὶ τῆς συγκλήτου καὶ τῶν ἀρχόντων ἐν ἀμηχανίαις
ὄντων, τί τὸ πέρας ἔσται τῆς τῶν νέων ἀναισχυντίας·
τούτῳ γὰρ ἠναγκάζοντο χρῆσθαι τῷ ῥήματι διὰ τὰ
Scipio ad pericula se offert. συμβαίνοντα· Πόπλιος Κορνήλιος Ἀφρικανὸς, νέος μὲν 8
ὢν, δοκῶν δὲ σύμβουλος γεγονέναι τοῦ πολέμου, ἐπὶ κα-
λοκἀγαθίᾳ καὶ σωφροσύνῃ δόξαν ὁμολογουμένην πεποιη-
μένος, τῆς δὲ [r]ἐπ' ἀνδρείᾳ φήμης προσδεόμενος· θεωρῶν 9
τὴν σύγκλητον ἀπορουμένην, ἀναστὰς εἶπεν, εἴτε χιλί-
αρχον, εἴτε πρεσβευτὴν πέμπειν αὐτὸν εἰς τὴν Ἰβηρίαν
μετὰ τῶν ὑπάτων ἐξεῖναι· πρὸς ἀμφότερα γὰρ ἑτοίμως
ἔχειν. καίτοι γ' ἔφη κατ' ἰδίαν μὲν αὐτῷ τὴν εἰς 10
Μακεδονίαν ἔξοδον ἅμα μὲν ἀσφαλεστέραν εἶναι, [s]* *.
(συνέβαινε γὰρ τότε, τοὺς Μακεδόνας ἐπ' ὀνόματος 11
καλεῖν τὸν Σκηπίωνα, διαλύσοντα τὰς ἐν αὐτοῖς στά-
σεις·) ἀλλὰ τοὺς τῆς πατρίδος καιροὺς, ἔφη, κατεπεί- 12
γειν μᾶλλον, καὶ καλεῖν εἰς τὴν Ἰβηρίαν τοὺς ἀληθινῶς
φιλοδοξοῦντας. Πᾶσι δὲ παραδόξου φανείσης τῆς ἐπαγ- 13
γελίας, καὶ διὰ τὴν ἡλικίαν, καὶ διὰ [t]τὴν ἄλλην

[q] ἐπιτέμνειν ex conject. restitui. ἐπιτείνειν MSti. ἐπιτίνειν edd. ex Ursini ing. quod Casaub. vertit *pœna afficere;* unde Reisk. εὐθύνειν suspicatus est. [r] ἐπ' ἀνδρείᾳ correxi. Vulgo ἐπ' ἀνδρείας. [s] Deesse ἅμα μὲν ἐντιμοτέραν vel ἐπικυδιστέραν suspicatus est Reisk. [t] τὴν ἄλλην scripsi ex Reiskii conject. Vulgo τὴν ἄλλων. Oportebat saltem τὴν τῶν ἄλλων, *propter aliorum cunctationem.*

delecti a consulibus, conditionem acciperent; et, quod maximum erat, juniores ad nomina non responderent, sed eas excusationes comminiscerentur, quarum meminisse turpe erat, examinare indecorum, incidere repellereque impossibile. Tandem, quum neque senatus neque magistratus haberent, quo se verterent, neque scirent, quem finem juvenes facturi essent *impudentiæ;* (nam hoc verbo coacti sunt propter rei novitatem uti;) *Pub. Cornelius Africanus,* ætate juvenis, sed qui belli suasor fuerat, adolescens probitatis et temperantiæ laude insignis, verum cui laus bellica adhuc deerat; quum cerneret, quantis in angustiis patres versarentur; surgit e medio, dixitque, *sive tribunum, sive legatum vellent se mittere in Hispaniam consulibus, in potestate senatus se futurum; ad utrumque enim esse paratum. Etsi,* inquiebat, *si mei privatim commodi rationem habeam, profectio in Macedoniam, cum ad securitatem,* [*tum ad utilitatem,*] *potior mihi fuerit:* (eo siquidem tempore Macedones nominatim *Scipionem* poposcerant ad disceptandas controversias, quas inter se habebant:) *sed me,* aiebat Scipio, *tempora reipublicæ magis movent, quæ veræ laudis cupidos in Hispaniam vocant.* Quum mira esset omnibus visa Scipionis oratio, qua suam reipublicæ operam offerebat, et propter ætatem, et propter cautam

εὐλάβειαν· παραυτίκα μὲν εὐθέως συνέβη, μεγάλην A. U. 603.
[u]ἀποδοχὴν γενέσθαι τοῦ Σκιπίωνος, ἔτι δὲ μᾶλλον [x]ταῖς
14 ἑξῆς ἡμέραις. Οἱ γὰρ πρότερον ἀποδειλιῶντες, ἐκτρεπόμενοι τὸν ἐκ παραθέσεως ἔλεγχον, οἱ μὲν πρεσβεύσειν ἐθελοντὴν ἐπηγγέλλοντο τοῖς στρατηγοῖς, οἱ δὲ πρὸς τὰς στρατιωτικὰς καταγραφὰς προσεπορεύοντο κατὰ συστρέμματα καὶ συνηθείας.

* * *

V. Ἐνέπεσε δέ τις ὁρμὴ τῷ Σκιπίωνι καὶ διαπόρησις, εἰ δεῖ συμβαλεῖν καὶ μονομαχῆσαι πρὸς τὸν βάρβαρον. Scipionis certamen sing. cum Hispano.

* *

2 [y]Ὁ δὲ ἵππος ὁ τοῦ Σκιπίωνος ἐδυσχέρησε μὲν ὑπὸ τῆς πληγῆς, οὐ μὴν ὁλοσχερῶς ἐσφάλμησε. διόπερ ὀρθὸς ἀπέπεσεν ἐπὶ τὴν γῆν ὁ Σκιπίων.

II.

ACHAICI EXSULES *liberantur a Senatu Rom.*

* * * Ol. 157. 2. A. U. 604.

VI. ΥΠΕΡ τῶν ἐξ Ἀχαΐας φυγάδων ἐντευχθεὶς ὁ Κάνων διὰ Πολύβιον ὑπὸ Σκιπίωνος, ὡς πολὺς ἐν τῇ συγκλήτῳ λόγος ἐγίγνετο, τῶν μὲν διδόντων κάθοδον Catonis dictum de Achæis.

[u] ἀποδοχὴν correxit cum Reiskio, cum esset ὑποδοχὴν. [x] Sic Bav. Vulgo τῆς ἑξῆς ἡμέρας. [y] Alterum hoc Fragm. ex Gronov. et Drakenb. conject. ad hunc Scipionem et ad hanc historiam retuli. Nescio ad eumdem pertineat illud: Ὁ δὲ ἵππος, ὑπεραλγὴς ὢν ἐκ τῆς πληγῆς, ῥύδην ἐφέρετο διὰ τοῦ μεταξὺ τόπου τοῦ στρατοπέδου. Suid. in Ὑπεραλγὴς et in Ἀποσφαλμ.

cunctationem, quam alias præ se ferebat; repente omnes adolescentem complecti, atque collaudare, quod sequentibus diebus impensius etiam fecerunt. Nam qui meticulosi prius adparuerant, metuentes jam, ne, comparati cum *Scipione*, ignominiam reportarent, partim legatos se cum belli ducibus profecturos ultro sunt professi, partim militiæ catervatim et per sodalitates nomina dabant.

* * *

v. Incessit autem *Scipionem* impetus quidem et dubitatio, an cum barbaro confligere et *singulare certamen* inire ipse deberet. (*Suidas in* Ἐνέπεσε.)

* *

Equus vero *Scipionis* graviter quidem adflictus erat vulnere, neque tamen omnino prolapsus est: itaque rectus in terram sese dejecit *Scipio*. (*Suidas in* Ἀπεσφαλμένας.)

II.

(*Plutarch. in Catone Majore p.* 341. *et in Apophthegm. p.* 199.)

* * *

VI. DE *Achaicis exsulibus* a Scipione, *Polybii*, caussa compellatus *Cato*, cum multis res in senatu verbis ageretur,

Ol. 137. 2. A. U. 604. αὐτοῖς, τῶν δ' ἐνισταμένων· ἀναστὰς ὁ Κάτων, "Ωσπερ 2
οὐκ ἔχοντες ὃ πράττομεν, καθήμεθα τὴν ἡμέραν ὅλην περὶ γεροντίων Γραικῶν ζητοῦντες, πότερον ὑπὸ τῶν παρ' ἡμῖν ἢ τῶν ἐν Ἀχαΐᾳ νεκροφόρων [z]ἐκκομισθῶσι. Ψηφι- 3
σθείσης δὲ τῆς καθόδου τοῖς ἀνδράσιν, ἡμέρας ὀλίγας οἱ περὶ τὸν Πολύβιον διαλιπόντες, αὖθις ἐπεχείρουν εἰς τὴν σύγκλητον εἰσελθεῖν, ὅπως, ἃς πρότερον εἶχον ἐν Ἀχαΐᾳ τιμὰς, οἱ φυγάδες ἀναλάβοιεν, καὶ τοῦ Κάτωνος ἀπεπειρῶντο τῆς γνώμης. Ὁ δὲ μειδιάσας, ἔφη, τὸν 4
Πολύβιον, ὥσπερ τὸν Ὀδυσσέα, βούλεσθαι πάλιν εἰς τὸ τοῦ Κύκλωπος σπήλαιον εἰσελθεῖν, τὸ πιλίον ἐκεῖ καὶ τὴν ζώνην ἐπιλελησμένον.

[z] Alibi apud eumdem Plutarchum est ἐξενεχθῶσι.

aliis reditum indulgentibus, aliis contradicentibus, surrexit: et, *Quasi vero*, ait, *quod agamus, desit! Sedemus hic de senibus Græcis disputantes totum diem, a nostris-ne, an ab Achaicis efferri debeant sandapilariis.* Quum vero reditus in patriam eis esset decretus, paucis interjectis diebus *Polybius* iterum senatum adire paravit, petiturus, ut iidem honores, quos olim gessissent in Achaia, eis restituerentur; et, *Catonis* quæ de ea re sententia esset, expiscatus est. Tum *Cato* subridens ait, *Polybium ad instar Ulyssis redire in speluncam Cyclopis velle, pileum et cingulum petiturus, quorum ibi esset oblitus.*

ΤΗΣ ΤΡΙΑΚΟΣΤΗΣ ἝΚΤΗΣ

ΤΩΝ ΠΟΛΥΒΙΟΥ ΙΣΤΟΡΙΩΝ

ΤΑ ΣΩΖΟΜΕΝΑ.

BELLI PUNICI TERTII PRIMORDIA.

* * *

Ol. 157. 3.
A. U. 605.
Uticenses Romanis se tradunt.

1. ΤΩΝ Καρχηδονίων πάλαι βουλευομένων περὶ τοῦ
πῶς [a] ἀπαντῆσαι δεῖ πρὸς τὴν Ῥωμαίων ἀπόκρισιν, καὶ
τῶν Ἰτυκαίων ὑποτεμομένων τὴν ἐπίνοιαν αὐτῶν, τοῖς
Ῥωμαίοις τὴν ἑαυτῶν προδιδόντων πόλιν, ὁλοσχερὴς
2 ἀμηχανία περιέστη τοὺς ἀνθρώπους. Μιᾶς γὰρ ἐλπίδος
ἔτι φαινομένης αὐτοῖς, εἰ [b] συγκαταβαῖεν εἰς τὸ δοῦναι
τὴν ἐπιτροπὴν περὶ αὐτῶν, διότι πάντως εὐδοκεῖν ποιή-
3 σουσι τοὺς Ῥωμαίους· διὰ τὸ μηδ' ἐν ταῖς μεγίσταις
περιστάσεσι [c] καταπολεμηθέντας, καὶ πρὸς τοῖς τείχεσι
τῶν πολεμίων ὑπαρχόντων, μηδέποτε τὴν ἐπιτροπὴν δεδω-
4 κέναι τῆς πατρίδος· καὶ ταύτης τῆς ἐπινοίας τὸν καρπὸν

[a] Post ἀπαντῆσαι desiderantur in MStis verba δεῖ et πρὸς, ab Ursino ex ing. adjecta. [b] συγκαταβαῖεν correxit Ursin. συγκαταβαίνειν MSti. [c] καταπολεμηθέντες Bav.

(*Legatio CXLII.*)

* * *

QUUM *Carthaginienses* post acceptum Romanorum responsum, quid facto esset opus, dudum deliberassent, et excogitati ab ipsis consilii gratiam *Uticenses* præripuissent, tradita mature urbe sua in Romanorum potestatem; prorsus, quo se verterent, aut quam ad salutem inirent viam, nesciebant. Nam illi quidem spem sibi superesse hanc unicam existimabant, sic se satisfacturos utique Romanis, si eo descenderent, ut liberum de se arbitrium illis permitterent: quandoquidem superioribus temporibus ne tum quidem, cum bello victi extremam periculi aleam subiissent, atque adeo pro mœnibus hostis esset, adduci umquam potuerant, ut patriam Romanis dederent. Sed hujus quoque consilii fructum occuparant *Uticenses*,

Ol. 157. 3. ἀπέβαλον, προκαταληφθέντες ὑπὸ τῶν Ἰτυκαίων. οὐδὲν 5
γὰρ ξένον, οὐδὲ παράδοξον ἔμελλε φανήσεσθαι τοῖς
Ῥωμαίοις, εἰ ταὐτὸν ποιήσαιεν τοῖς προειρημένοις. [d]Οὐ 6
μὴν, ἀλλὰ κακῶν αἱρέσεως καταλειπομένης, ἢ [e]τὸν
πόλεμον ἀναδέχεσθαι γενναίως, ἢ διδόναι τὴν ἐπιτροπὴν
περὶ τῶν καθ' αὑτούς· πολλοὺς καὶ ποικίλους ἐν τῷ 7
συνεδρίῳ δι' ἀποῤῥήτων ποιησάμενοι λόγους, κατέστησαν
πρεσβευτὰς αὐτοκράτορας· καὶ τούτους ἐξαπέστελλον,
δόντες ἐντολὴν, βλέποντας πρὸς τὰ παρόντα, πράττειν
τὸ δοκοῦν [f]συμφέρειν τῇ πατρίδι. ἦσαν [g]δ' οἱ πρεσ- 8
βεύοντες Γίσκων, Στρυτάνος ἐπικαλούμενος, Ἀμίλκας,
Μίσδης, [h]Γιλλίκας, Μάγων. Ἧκον δὲ οἱ πρέσβεις 9
παρὰ τῶν Καρχηδονίων εἰς Ῥώμην, καὶ καταλαβόντες
πόλεμον δεδογμένον, καὶ τοὺς στρατηγοὺς ὡρμηκότας
μετὰ τῶν δυνάμεων, οὐκ ἔτι διδόντων βουλὴν αὐτοῖς τῶν
πραγμάτων, ἔδωκαν τὴν ἐπιτροπὴν περὶ αὑτῶν.

Carthag. legati Romam.

Romanis res suas tradunt.

Quid sit, tradere se Romanis.

II. Περὶ δὲ τῆς ἐπιτροπῆς εἴρηται μὲν ἡμῖν καὶ
πρότερον· ἀναγκαῖον δ' ἐστι καὶ νῦν ὑπομνῆσαι κεφα-
λαιωδῶς. Οἱ γὰρ διδόντες αὑτοὺς εἰς τὴν Ῥωμαίων 2
ἐπιτροπὴν, διδόασι πρῶτον μὲν χώραν τὴν ὑπάρχουσαν
αὐτοῖς, καὶ πόλεις τὰς ἐν ταύτῃ, σὺν δὲ τούτοις ἄνδρας
καὶ γυναῖκας, τοὺς ὑπάρχοντας ἐν τῇ χώρᾳ καὶ ταῖς

[d] Post οὐ μὴν cum Reiskio inserui partic. ἀλλὰ, quæ desideratur vulgo. [e] τοῦ πολέμου Bav. quod si teneas, requiretur ἀντέχεσθαι pro ἀναδέχεσθαι. [f] Verbum συμφέρειν, cum abesset a MStis, ex ingenio adjecit Ursinus. [g] δ' οἱ cum Reisk. scripsi. Vulgo δὲ πρεσβ. [h] Γιλλίμας Bav. Nescio an sit idem qui Βάννων Τιγίλλας vel Γίλλας apud Appianum vocatur.

atque illis ademerant. Etenim si vel maxime eorum, quos diximus, exemplum sequerentur, nihil tamen novi neque miri eos fecisse, Romani erant existimaturi, Verumtamen quoniam duorum malorum alterum erat eligendum, ut vel bellum fortiter sustinerent, vel potestati alienæ se suaque permitterent; post multas in senatu dictas arcano sententias, legatos decreverunt, qui suo arbitrio reipublicæ consulerent; eosque cum his mandatis proficisci jusserunt, ut, præsentis status ratione habita, ea facerent, quæ e republica esse viderentur. Hanc legationem obierunt *Giscon*, qui *Strytanus* cognominatus, *Hamilcar*, *Misdes*, *Gillicas*, et *Mago*. Venerunt igitur Romam hi Carthaginiensium legati: sed ibi bellum jam decretum invenerunt, et duces cum exercitibus jam profectos. Itaque quum tempus ad deliberandum res nullum darent, *arbitrio Romanorum se suaque omnia* permiserunt.

II. Quam vim hoc habeat, *permittere arbitrio*, diximus quidem jam ante; sed breviter hic quoque repetendum. Nam qui *Populi Romani arbitrio* se suaque permittunt, ii *agrum* primo illis dant omnem, quem habent, et *urbes*, quæcumque sunt in illo, ad hæc *viros* pariter *et fœminas*, quotquot vel in agro vel in urbibus

3 πόλεσιν ἅπαντας· ὁμοίως ποταμοὺς, λιμένας, ἱερὰ, *A. U. 605.*
τάφους, [i]συλλήβδην, ὥστε πάντων εἶναι κυρίους Ῥω-
μαίους, αὐτοὺς δὲ τοὺς διδόντας ἁπλῶς μηκέτι μηδενός.
4 Γενομένης δὲ τῆς ἀνθομολογήσεως τοιαύτης ὑπὸ τῶν *Senatus*
Καρχηδονίων, καὶ μετ' ὀλίγον εἰσκληθέντων αὐτῶν εἰς *respondet legatis*
τὸ συνέδριον, ἔλεγεν ὁ στρατηγὸς τὴν τῆς συγκλήτου *Carth.*
γνώμην· ὅτι, καλῶς αὐτῶν βεβουλευμένων, δίδωσιν
αὐτοῖς ἡ σύγκλητος τήν τ' ἐλευθερίαν, καὶ τοὺς νόμους,
ἔτι δὲ τὴν χώραν ἅπασαν, καὶ τὴν τῶν ἄλλων ὑπαρ-
5 χόντων κτῆσιν, καὶ κοινῇ καὶ κατ' ἰδίαν. Οἱ δὲ Καρ-
χηδόνιοι ταῦτ' ἀκούσαντες ἔχαιρον, δόξαντες, ὡς ἐν
κακῶν αἱρέσει, καλῶς σφίσι κεχρῆσθαι τὴν σύγκλητον,
ἅτε τῶν ἀναγκαιοτάτων καὶ μεγίστων αὐτοῖς συγκεχω-
6 ρημένων. Μετὰ δὲ ταῦτα, τοῦ στρατηγοῦ διασαφοῦν-
τος, διότι τεύξονται τούτων, ἐὰν τριακοσίους ὁμήρους εἰς
τὸ Λιλύβαιον ἐκπέμψωσιν ἐν τριάκονθ' ἡμέραις, τοὺς
υἱοὺς τῶν [k]ἐκ τῆς συγκλήτου καὶ τῆς γερουσίας, καὶ
τοῖς ὑπὸ τῶν ὑπάτων παραγγελλομένοις πειθαρχήσωσιν·
7 ἐπὶ ποσὸν ἠπόρησαν, [l]ποῖά ποτε διὰ τῶν ὑπάτων αὐτοῖς
ἔσται παραγγελλόμενα· πλὴν τότε γε ἐξαυτῆς ὥρμη-
σαν, σπεύδοντες ἀναγγεῖλαι τῇ πατρίδι περὶ τούτων.
8 Παραγενόμενοι δ' εἰς τὴν Καρχηδόνα, διεσάφουν τοῖς *Legati*
9 πολίταις τὰ κατὰ μέρος. Οἱ δὲ, διακούσαντες, τἄλλα *redeunt Carthaginem.*

[i] Utique cum Reiskio suspicor πάντα συλλήβδην, aut συλλήβδην πάντα· ὥστε πάντων &c. [k] Articulum, qui abest vulgo, adjeci cum Reisk. [l] ποῖα debetur conjecturæ Ursini. πότε διὰ dant MSti, absque ποῖα. Nos utrumque vocab. conjungendum duximus.

fuerint: porro *amnes, portus, sacra, monumenta;* denique ad unum omnia, ut omnium domini fiant Romani; ipsi vero, qui se permittunt, omnium omnino rerum dominium amittant. Postquam igitur declarationem istam Carthaginienses fecerunt, accitis mox in curiam exposuit consul senatus sententiam: scilicet, *quoniam rectam consilii viam iniissent, concedere illis patres libertatem, leges suas, et agrum insuper omnem, et omnium aliorum bonorum possessionem, quæ ad rempublicam aut ad privatos pertineret.* His auditis lætari Carthaginienses, quod putarent, clementer secum, ut in malis, senatum agere, qui maxima quæque et summe necessaria sibi concederet. Postea, adjiciente consule, *ista eos esse impetraturos, si intra triginta dies obsides trecentos Lilybæum miserint, senatorum aut Seniorum liberos, et ea fecerint, quæ consules imperassent:* dubitarunt aliquamdiu legati, mirantes, quænam tandem essent, quæ consules sint imperaturi. Ceterum ex urbe profecti extemplo sunt, ut de iis, quæ gesta fuerant, nuncium in patriam adferrent. Carthaginem ut ventum, omnia ordine civibus exposuerunt. Qui, iis auditis, cetera sic satis commode a legatis fuisse administrata

R 4

Ol. 157. 2. μὲν ἐνδεχομένως ἐνόμιζον βεβουλεῦσθαι τοὺς πρεσβευτάς· [m]περὶ δὲ πόλεως μὴ γεγονέναι μνείαν, εἰς μεγάλην ἐπίστασιν αὐτοὺς ἦγε καὶ πολλὴν ἀμηχανίαν.

Magonis Bruttii oratio.

III. Ἐν δὲ τῷ καιρῷ τούτῳ φασὶ Μάγωνα τὸν [n]Βρέττιον χρήσασθαι λόγοις ἀνδρώδεσι καὶ πραγματικοῖς. Δύο γὰρ, ὡς ἔοικε, καιροὺς ἔφασκεν εἶναι τοῦ 2
βουλεύσασθαι περὶ σφῶν καὶ τῆς πατρίδος, ὧν τὸν μὲν ἕνα παρεῖσθαι. δεῖν γὰρ οὐ μὰ Δία νῦν διαπορεῖν, τί 3
διὰ τῶν ὑπάτων αὐτοῖς παραγγελθήσεται, καὶ διὰ τί περὶ [o]πόλεως οὐδεμίαν ἐποιήσατο μνείαν ἡ σύγκλητος, ἀλλὰ καθ' ὃν καιρὸν ἐδίδοσαν τὴν ἐπιτροπήν· δόντας δὲ, σαφῶς γινώσκειν, διότι πᾶν τὸ παραγγελ- 4
λόμενον ἐπιδεκτέον ἐστὶν, ἐὰν μὴ τελέως ὑπερήφανον [p]ᾖ καὶ παρὰ τὴν προσδοκίαν. Εἰ δὲ μὴ, τότε πάλιν 5
[q]βουλεύσασθαι, πότερα δεῖ προσδέχεσθαι τὸν πόλεμον εἰς τὴν χώραν, καὶ πάσχειν, ὅ τι ποτ' ἂν οὗτος ἐπιφέρῃ τῶν δεινῶν, ἢ, καταῤῥωδήσαντας τὴν τῶν πολεμίων ἔφοδον, ἐθελοντὴν ἀναδέχεσθαι πᾶν τὸ προσταττόμενον.

Obsides mittunt Pœni.

Πάντων δὲ, διὰ τὸν ἐφεστῶτα πόλεμον, καὶ διὰ τὸ τῆς 6
προσδοκίας ἄδηλον, φερομένων ἐπὶ τὸ πειθαρχεῖν τοῖς παραγγελλομένοις, ἔδοξε πέμπειν τοὺς ὁμήρους εἰς τὸ Λιλύβαιον. Καὶ παραυτίκα καταλέξαντες τριακοσίους 7
τῶν νέων, ἐξέπεμπον μετὰ μεγάλης οἰμωγῆς καὶ δα-

[m] περὶ δὲ πόλεως correxi ex Diodoro Siculo. Vulgo πόλεων, *de urbibus*. Malim tamen τῆς πόλεως. [n] Βρέττιον correxi. Vulgo Βρέτιον. [o] Rursus πόλεως scripsi pro vulgato πόλεων. [p] ᾖ post ὑπερήφανον ignorat Bav. [q] βουλεύσασθαι accivi ex Bav. Vulgo βουλεύεσθαι.

existimantes, quod tamen *urbis* nulla esset mentio facta, caussam vehementer requirebant; eaque res mirifice anxios et sollicitos illos habebat.

III. Fama est, illo tempore *Magonem Bruttium* oratione usum et forti et prudente; quum diceret, *duo tempora videri Carthaginienses habuisse ad deliberandum de sua et patriæ salute. Horum alterum esset ab ipsis prætermissum. Nam quærendi quidnam consules essent imperaturi, et cur nullam senatus urbis fecerit mentionem, non mehercule nunc tempus esse; verum tunc fuisse, cum arbitrio Romanorum sese permiserunt. Nunc postquam id fecissent, certo statuere eos debere, omnia, quæ forent imperata, facienda esse, nisi quid nimis superbum et inopinatum imperaretur. Id si nollent; nunc denuo ipsis esse deliberandum, utrum ditioni suæ intentatum bellum sustinere, et, quæcumque manare ab eo mala solent, velint tolerare; an potius, adventum hostium horrentes, quæcumque forent imperata, ultro sint facturi.* Quum igitur omnes, præsentis belli metu, et propter incerta casuum, ad parendum Romanis inclinarent, decretum est, *Lilybæum obsides esse mittendos.* Et confestim trecentos e juventute delectos mittunt, non sine magnis ejula-

κρύαν, ἅτε προπεμπόντων ἕκαστον τῶν ἀναγκαίων καὶ συγγενῶν, καὶ μάλιστα τῶν γυναικῶν ἐκκαιουσῶν τὴν A. U. 603.
8 τοιαύτην διάθεσιν. Ἐπεὶ δὲ κατέπλευσαν εἰς τὸ Λιλύβαιον, οἱ μὲν ἐξαυτῆς παρεδόθησαν διὰ τῶν ὑπάτων Κοΐντῳ Φαβίῳ Μαξίμῳ· συνέβαινε γὰρ, τοῦτον ἐπὶ τῆς Q. Fabius Max. prætor Siciliæ.
9 Σικελίας τετάχθαι στρατηγὸν τότε. δι' οὗ παρακομισθέντες ἀσφαλῶς εἰς τὴν Ῥώμην, συνεκλείσθησαν ὁμοῦ πάντες εἰς τὸ τῆς [r] ἑκκαιδεκήρους νεώριον.

IV. Καὶ τῶν μὲν ὁμήρων ἐκεῖσε ὑπαρχόντων, οἱ στρα- Romani ad Uticam.
2 τηγοὶ κατήχθησαν εἰς τὴν τῆς Ἰτύκης ἄκραν. Τούτων δὲ προσπεπτωκότων τοῖς Καρχηδονίοις, ὀρθὴ καὶ περίφοβος ἦν ἡ πόλις, διὰ τὴν ἀδηλότητα τῶν προσδοκωμένων.
3 Οὐ μὴν, ἀλλ' ἔδοξεν αὐτοῖς πρεσβευτὰς πέμπειν, τοὺς πευσομένους τῶν ὑπάτων, τί δεῖ ποιεῖν, καὶ διασαφήσοντας, ὅτι πρὸς πᾶν τὸ παραγγελλόμενον ἕτοιμοι πάντες
4 εἰσίν. Τῶν δὲ πρεσβευτῶν ἀφικομένων εἰς τὴν τῶν Ῥωμαίων παρεμβολὴν, καὶ τοῦ συνεδρίου συναχθέντος, εἰσελθόντες οἱ πρέσβεις διελέγοντο κατὰ τὰς ἐντολάς.
5 Ὁ δὲ πρεσβύτερος τῶν ὑπάτων, ἐπαινέσας αὐτῶν τὴν πρόθεσιν καὶ προαίρεσιν, ἐκέλευε παραδιδόναι τά τε ὅπλα καὶ τὰ βέλη πάντα χωρὶς δόλου καὶ ἀπάτης.
6 Οἱ δὲ πρέσβεις ποιήσειν μὲν ἔφασαν τὸ παραγγελλόμενον· σκοπεῖσθαι δ' αὐτοὺς ἠξίουν τὸ συμβησόμενον,

[r] ἑκκαιδεκήρους ex certa conject. correxi. Vulgo ἑκκαιδεκήτου. ἑκκαιδεκετοῦ Bav.

tibus et lacrymis, utpote quum necessarii et cognati sui quemque illorum prosequerentur; maximeque propter mulieres miserabilis ejus spectaculi facies erat. Posteaquam *Lilybæum* obsides adpulerunt, consules illos *Quinto Fabio Maximo* tradiderunt, quoniam illo tempore Siciliam ex prætura nactus Fabius regebat: qui eos Romam tuto curavit deferendos, ubi simul omnes in navale navis sedecim versuum remorum sunt conclusi.

IV. Ita in custodiam datis obsidibus, imperatores classem cum exercitu ad *Uticæ* promontorium adpellunt. Quod ubi Carthaginem fuit nunciatum, suspensi omnium civium animi, pleni metus propter exspectationis incertitudinem fuerunt. Visum tamen illis faciendum, ut legatos mitterent, quæsituros a consulibus, *quid facto opus esset?* illisque nunciaturos, *Carthaginienses paratos esse, quæcumque forent imperata, facere.* Postquam legati in castra Romanorum venissent, et in concilio mandata, quæ acceperant, exposuissent; major natu e consulibus, laudato ipsorum consilio et voluntate, *arma telaque omnia sine dolo et fallaciis tradere* eos jussit. Legati, *facturos se quidem imperata*, responderunt; *orare tamen Romanos, cogitarent etiam atque etiam, quod esset futurum, si Carthaginienses tradidissent arma, ipsique in*

Ol. 157. 3. ἐὰν αὐτοὶ μὲν παραχωρήσωσι τῶν ὅπλων, ἐκεῖνοι δὲ [s]λαβόντες ἀποπλεύσωσιν. Ὅμως ταῦτα ἔδωκαν.

*

[t]Δῆλον ἐγένετο, ὅτι μέγα τὸ βάσταγμα τῆς πόλεως 7
ἦν. πλείονα γὰρ κ΄ μυριάδων ὅπλα παρέδωκαν Ῥωμαίοις, καὶ καταπέλτας β.

* * *

Stupor ac furor Pœnorum, audito responso Romanorum.

[u]V. Ἁπλῶς δὲ οὐδὲν εἶδος τῶν μελλόντων ἔγνωσαν·
ἐξ αὐτῆς δὲ τῆς τῶν πρέσβεων ἐμφάσεως ὀττευόμενοι, 2
εἰς παντοδαπὰς οἰμωγὰς καὶ θρήνους ἐνέπιπτον.

* *

Οἱ δὲ πάντες ἅμα ἀνακραγόντες, ἐξαυτῆς οἱονεὶ 3
[x]παρελύθησαν. Ταχὺ δὲ τοῦ λόγου διαδοθέντος εἰς τὸ 4
πλῆθος, [y]οὐκέτι συνέβαινε γίγνεσθαι τὴν ἀλογίαν· ἀλλ᾽ οἱ μὲν ἐπὶ τοὺς [z]πρεσβευτὰς ὥρμων, ὡς αἰτίους σφίσι
τῶν κακῶν ὄντας τούτων· οἱ δὲ ἐπὶ τοὺς κατειλημμένους 5
τῶν Ἰταλικῶν, καὶ εἰς τούτους [a]ἀπερείσαντες τὸν θυμόν· οἱ δὲ πρὸς τὰς πύλας τῆς πόλεως..

* * *

Scipionis virtus in Africa.

[b]VI. Τὰς προφυλακὰς βλέπων ὁ [c]Φαμέας, ὧν οὐκ

[s] MSti dant λαβόντες μὴ ἀποπλεύσωσιν. *Particulam negantem* delevit Ursinus. [t] Habet Suidas in Βάσταγμα, absque auctoris nomine. Ad Polybium referendum censuit Küsterus. [u] Fragmenta ista, Anonyma apud Suidam, probabiliter ad Polybium retulerunt partim Valesius, partim Ursin. et Casaub. [x] παρελύθησαν ex conject. correxit Casaub. Vulgo mendose παρεληλύθεισαν. [y] Post οὐκέτι adjectivum aliquod supplevit Küsterus, referendum ad ἀλογίαν, vertens, *non amplius furori temperatum fuit.* [z] πρεσβευτὰς correxi monente Casaub. Vulgo πρεσβύτας. [a] ἀπηρείσαντο malim cum Casaub. [b] Duo priora Fragmenta rursus ex conjectura tribui solent Polybio. [c] Φαμαίας scribitur apud Appianum.

discessu illa asportarent. Hæc tamen mox tradiderunt.

*

Manifestum factum est, magnas esse opes urbis. Armorum enim plus ducena millia, catapultarum duo millia Romanis tradiderunt.

(*Suidas in* Ἁπλῶς, *in* Ὀττευόμενοι, *et in* Ἀλογία.)

* * *

v. Nullam omnino notionem eorum, quæ ipsis imminebant, potuerunt sibi informare: sed ex solo vultu legatorum male ominantes, in omnigenos ejulatus et lamentationes proruperunt.

* *

Illi vero, postquam simul omnes clamorem sustulerant, confestim velut attoniti obstupuerunt. Mox vero rumore in vulgus sparso, non amplius erat tacitus stupor: sed alii in legatos irruebant, tamquam horum malorum auctores; alii in Italos, qui in urbe erant deprehensi, rabiem suam effundebant; alii ad portas urbis currebant.

* * *

vi. Stationes cernens *Phameas*,

ἄψυχος, ἐξέκλινε τὰς πρὸς τὸν Σκιπίωνα συμπλοκάς. A. U. 605.
2 Καί ποτε συνεγγίσας ταῖς ἐφεδρείαις, προβαλόμενος ὀφρὺν ἀπότομον, [d] ἀπέστη καὶ πλείω χρόνον.

*

3 Αἱ δὲ σημαῖαι τῶν Ῥωμαίων συνεπεφεύγεισαν εἰς βουνόν· καὶ πάντων δόντων γνώμας, ὁ Σκιπίων ἔφη·
4 ὅταν ἐξ ἀκεραίου βουλεύωνται, [e] καὶ πλείω ποιεῖσθαι Dictum Scipionis.
πρόνοιαν τοῦ μηδὲν παθεῖν, ἢ τοῦ δρᾶσαι κακῶς τοὺς ἐχθρούς.

*

5 Οὐ χρὴ θαυμάζειν, εἰ φιλοτιμότερον ἐξηγούμεθα τὰ κατὰ τὸν Σκιπίωνα, καὶ πᾶν τὸ ῥηθὲν ὑπ' αὐτοῦ μετὰ διαστολῆς ἐξαγγέλλομεν.

*

6 Ἐν γὰρ τῇ Ῥώμῃ Μάρκον Πόρκιον ἀκούσαντα τὰς Catonis dictum in Scipionem.
ἀριστείας Σκιπίωνος, [f] εἰπεῖν· Οἶος πέπνυται· τοὶ δὲ σκιαὶ ἀΐσσουσιν.

[d] Forsan ἐπέστη. [e] καὶ πλείω revocavi ex Suida. δεῖν πλείω ex ing. edidit Casaub. [f] Post εἰπεῖν apud Suidam inseruntur hæc verba, male affecta, πάλιν ἄλλον πρὸς ἐκεῖνον.

quamquam non erat timidus, copiam sui facere noluit *Scipioni*. Et quum aliquando adpropinquasset hostium præsidiis, præruptum tumuli supercilium ut propugnaculum objiciens hosti, per sat longum tempus ibi se continuit. (*Suidas in* Ἄψυχος *et* Φαμίας.)

*

Manipuli Romanorum confugerant in collem: cumque omnes sententiam dixissent, *Scipio*, ait, *ubi re integra instituitur deliberatio, majori etiam cura cavendum, ne detrimentum patiaris, quam ut ipse lædas hostem.* (*Suidas in* Σημαῖαι.)

*

Mirari nemo debet, si res *Scipionis* diligentiore studio narramus, et singula ejus dicta sigillatim commemoramus. (*Suidas in* Διαστολή.)

*

Romæ *Marcum Porcium*, quum res a *Scipione* præclare gestas audivisset, dixisse ferunt: *Solus sapit, ceteri vero ut umbræ oberrant.* (*Suidas in* Ἀΐσσουσιν.)

ΤΗΣ ΤΡΙΑΚΟΣΤΗΣ ἙΒΔΟΜΗΣ

ΤΩΝ ΠΟΛΥΒΙΟΥ ΙΣΤΟΡΙΩΝ

ΤΑ ΣΩΖΟΜΕΝΑ.

I.

Ex Historia Belli Macedonici Tertii *contra Pseudophilippum.*

* * *

Ol. 157. 4. A. U. 606.

1. ΜΟΥΣΕΙΟΝ, τόπος περὶ τὸν Ὄλυμπον τὸν ἐν Μακεδονίᾳ. Πολύβιος τριακοστῇ ἑβδόμῃ.

II.

Prusias *necatur a filio Nicomede.*

* * *

Prusiæ mores et ingenium.

II. ΠΡΟΥΣΙΑΣ ὁ βασιλεὺς, εἰδεχθὴς ὢν κατὰ τὴν ἔμφασιν, καίπερ ἐκ συλλογισμοῦ [a]οὐ βελτίων ὑπάρχων, ἥμισυς ἀνὴρ κατὰ τὴν ἐπιφάνειαν, καὶ πρὸς τὰς πολε-
2 μικὰς χρείας ἀγεννὴς καὶ γυναικώδης. Οὐ γὰρ μόνον δειλὸς ἦν, ἀλλὰ καὶ πρὸς τὰς κακοπαθείας ἀλλότριος,

[a] *Particulam negativam,* quæ abest vulgo, ex conject. adjeci. Valesius: *tametsi judicio et sagacitate haudquaquam spernendus.*

I.

* * *

1. *Museum,* locus ad Olympum qui in Macedonia est. *Polybius Libro XXXVII.* (*Steph. Byzant.*)

II.

Excerptum Valesianum.

* * *

II. Prusias, rex Bithyniæ, adspectu erat deformis, neque vero ingenio judicioque melior: homo semivir specie, et ad res bellicas prorsus ignavus et mollis. Neque enim solum timidus erat, sed etiam præterea laboris

Ol. 157. 4. Prusiæ ingenium et mores.

καὶ συλλήβδην ἐκτεθηλυμένος καὶ τῇ ψυχῇ καὶ τῷ
σώματι παρ' ὅλον τὸν βίον· ὅπερ ἥκιστα βούλονται περὶ 3
τοὺς βασιλεῖς ὑπάρχειν ἅπαντες μὲν, μάλιστα δὲ τὸ
τῶν Βιθυνῶν γένος. Πολλὴ δέ τις ἀσέλγεια καὶ περὶ 4
τὰς σωματικὰς ἐπιθυμίας αὐτῷ συνεξηκολούθει. παι- 5
δείας δὲ καὶ φιλοσοφίας καὶ τῶν ἐν τούτοις θεωρημάτων
ἄπειρος εἰς τέλος ἦν· καὶ συλλήβδην τοῦ καλοῦ, ὅ τι 6
πότ' ἐστὶν, οὐδ' ἔννοιαν εἶχε, Σαρδαναπάλου δὲ βάρ-
βαρον βίον ἔζη καὶ μεθ' ἡμέραν καὶ νύκτωρ. [b]Τοιγα- 7
ροῦν ἅμα τῷ βραχείας ἐλπίδος τὸ τῶν βασιλευομένων
πλῆθος λαβέσθαι, ἀμετάκλητον ὁρμὴν ἔσχεν εἰς τὸ μὴ
μόνον ἀλλότρια φρονεῖν τοῦ βασιλέως, ἀλλὰ καὶ τιμω-
ρίαν βούλεσθαι παρ' αὐτοῦ λαμβάνειν.

III.

MASANISSÆ *obitus et Elogium.*

* * *

Corporis vigor.

III. ΜΑΣΑΝΑΣΣΗΣ, ὁ ἐν Λιβύῃ τῶν Νομάδων
βασιλεὺς, ἀνὴρ ἦν τῶν καθ' ἡμᾶς βασιλέων ἄριστος
καὶ μακαριώτατος· ὃς ἐβασίλευσεν ἔτη πλείω τῶν ξ', 2
ὑγιεινότατος ὢν καὶ πολυχρονιώτατος, ἐννενήκοντα γὰρ
ἐτῶν ἐγεγόνει. ἐγίγνετο δὲ καὶ δυναμικώτατος τῶν καθ' 3
αὑτὸν κατὰ τὴν σωματικὴν ἕξιν· ὅς, ὅτε [c]μὲν στῆναι

[b] Τοιγαροῦν ex conject. scripsi. Vulgo καὶ γὰρ οὖν. [c] μὲν στῆναι ex conj. correxi. μεταστῆναι codex Peiresc. et Suidas, quod Valesius in μὲν ἱστάναι mutavit.

impatiens, atque omnino effœminatus in omni vita et animo et corpore: quod genus vitii cum omnes mortales, tum maxime Bithyni, in regibus ferre non possunt. Idem ingenti libidine ad omnes corporis voluptates ardebat. Disciplinarum autem liberalium ac philosophiæ et doctrinæ omnis, quæ in his rebus versatur, prorsus expers. Denique virtutis atque honesti ne sensum quidem ullum habebat; sed interdiu noctuque Sardanapali cujusdam vitam ducebat. Quamobrem simulac vel minima spes multitudini adfulsit Bithynorum; omnes impetu effuso non ad defectionem modo, sed ad pœnas etiam de rege sumendas ferri cœpere.

III.

Excerptum Valesianum.

* * *

III. MASANISSA, Numidarum in Africa rex, vir fuit nostra ætate regum optimus, et fortunatissimus: qui annis plus quam sexaginta regnum tenuit, optima valetudine ac longissima vita; nam ad annum usque nonagesimum vixit. Idem omnium ætatis suæ hominum robustissimo corpo-

δέοι, στὰς ἐν τοῖς αὐτοῖς ἴχνεσι δι' ἡμέρας ἔμενε, A. U. 604.
4 καθεζόμενος [d]δὲ πάλιν οὐκ ἠγείρετο. καὶ τὴν ἐπὶ τῶν
ἵππων κακοπάθειαν ἡμέραν καὶ νύκτα συνεχῶς δια-
5 καρτερῶν, οὐδὲν ἔπασχεν. Σημεῖον δὲ τῆς σωματικῆς
αὐτοῦ δυνάμεως· ἔχων ἐννενήκοντα ἔτη, καθ' ὃν καιρὸν Filii Masanissæ.
μετήλλαξε τὸν βίον, υἱὸν ἀπέλιπε τεττάρων ἐτῶν, ὄνομα
[e]Στέμβανον, ὃν μετὰ ταῦτα Μικίψης υἱοποιήσατο, πρὸς
6 δὲ τούτῳ υἱοὺς τέσσαρας. Διὰ δὲ τὴν πρὸς ἀλλήλους
τούτων εὔνοιαν, διετήρησε, τὸν ὅλον βίον πάσης ἐπιβουλῆς
καὶ παντὸς οἰκείου μιάσματος ἄμοιρον αὐτοῦ γενέσθαι
7 τὴν βασιλείαν. Τὸ δὲ μέγιστον καὶ θειότατον τούτου· Merita in agriculturam.
τῆς γὰρ Νομαδίας ἁπάσης ἀχρήστου τὸν πρὸ τοῦ
χρόνον ὑπαρχούσης, καὶ νομιζομένης ἀδυνάτου τῇ φύσει
8 πρὸς ἡμέρους καρποὺς ὑπάρχειν· πρῶτος καὶ μόνος
ὑπέδειξε, διότι δύναται πάντας ἐκφέρειν τοὺς ἡμέρους
καρποὺς οὐδ' ὁποίας ἧττον, ἑκάστῳ τῶν καρπῶν ἐν
διαστάσει μυριοπληθεῖς ἀγροὺς κατασκευάσας παμ-
9 φόρους. Τῇ μὲν οὖν ἐκείνου μεταστάσει ταῦτ' ἄν τις
10 εὐλόγως ἐπιφθέγξαιτο καὶ δικαίως. Ὁ δὲ Σκιπίων, Scipio Cirtæ res constituit.
παραγενόμενος εἰς τὴν [f]Κίρταν ἡμέρᾳ τρίτῃ μετὰ τὸν
τοῦ βασιλέως θάνατον, διῴκησε καλῶς πάντα.

*

Μασανάσσην ἱστορεῖ Πολύβιος ἐννενήκοντα μὲν ἐτῶν

[d] δὲ ex ing. adjecit Vales. [e] Στιμβὰν Suid. [f] Κίρταν correxit Vales. Σκίρταν MS.

ris habitu fuit. Quippe ubi standum esset, in iisdem vestigiis totum diem perstabat; contra, sedens in sella, non ante vesperam exsurgebat. Jam vero laborem in equitando dies noctesque fortiter tolerans, nullo incommodo vexabatur. Argumento ejus vigoris sit, quod nonaginta annos natus, cum ex vita decessit, quadriennem filium reliquit, nomine Stembalem, qui postea a *Micipsa* est adoptatus, ac præterea filios quatuor. Quorum mutua concordia ac benevolentia regnum suum, quoad vixit, insidiarum omnisque domestici piaculi expers præstitit. Quodque præcipuum est, ac pæne divinum: cnm omnis *Numidia* antea temporis infructuosa esset, nec gignendis fructibus ullatenus idonea esse crederetur; ipse primus ac solus demonstravit, nullum esse fructum, quem producere ea non posset eadem fertilitate, qua ceteræ regiones; cum agros innumerabiles, singulis fructuum generibus per intervalla consitos, feracissimos reddidisset. Huic igitur mortuo hanc laudem jure merito quis accinat. At *Scipio*, tertio post *Masanissæ* obitum die *Cirtam* delatus, cuncta prudentissime constituit.

*

(*Plutarch. An seniori capessenda sit Respubl.*)

Masanissam narrat Polybius nonaginta annos natum e vita discessisse,

Ol. 157. 4. A. U. 606. Simplex victus Masanissæ.

ἀποθανεῖν, τετραέτες καταλιπόντα παιδάριον ἐξ αὑτοῦ
γεγενημένον· ὀλίγῳ δὲ ἔμπροσθεν τῆς τελευτῆς, μάχῃ 12
νικήσαντα Καρχηδονίους, ὀφθῆναι τῇ ὑστεραίᾳ πρὸ τῆς
σκηνῆς ῥυπαρὸν ἄρτον ἐσθίοντα· καὶ πρὸς τοὺς θαυμά-
ζοντας εἰπεῖν, ὅτι τοῦτο ποιεῖ * *.

puerulum quatuor annorum relinquentem, a se progenitum. Brevi vero ante obitum, postquam prælio vicisset Carthaginienses, postero die conspectum fuisse ante tentorium, sordidum panem comedentem: cumque mirarentur nonnulli, dixisse fertur, *se hoc facere* * *.

ΤΗΣ ΤΡΙΑΚΟΣΤΗΣ ΟΓΔΟΗΣ

ΤΩΝ ΠΟΛΥΒΙΟΥ ΙΣΤΟΡΙΩΝ

ΤΑ ΣΩΖΟΜΕΝΑ.

Semina Belli Achaici.

* * *

Ol. 158. 1.
A. U. 607.
Aurelius legatus redit ex Achaia.

1. [a]ΠΑΡΑΓΕΝΟΜΕΝΩΝ ἐκ Πελοποννήσου τῶν
περὶ τὸν Αὐρήλιον πρεσβευτῶν, καὶ διασαφούντων τὰ
συμβεβηκότα περὶ αὐτοὺς, ὅτι παρ' ὀλίγον τοῖς ὅλοις
ἐκινδύνευσαν, καὶ λεγόντων μετ' αὐξήσεως καὶ καινολο-
2 γίας· οὐ γὰρ ὡς κατὰ περιπέτειαν ἐπ' αὐτοὺς ἥκοντος
τοῦ δεινοῦ διεσάφουν, ἀλλ' ὡς κατὰ πρόθεσιν ὡρμηκότων
3 τῶν Ἀχαιῶν, [b]ἐπὶ τῷ παραδειγματίζειν αὐτούς· ἡ
σύγκλητος ἠγανάκτησεν μὲν ἐπὶ τοῖς γεγονόσιν, ὡς
οὐδέποτε, καὶ παραχρῆμα πρεσβευτὰς κατεστήσατο
τοὺς περὶ τὸν Ἰούλιον. καὶ τούτους ἔπεμπε, δοῦσα
4 τοιαύτας ἐντολάς· διότι δεῖ μετρίως ἐπιτιμήσαντας καὶ
μεμψαμένους ἐπὶ τοῖς γεγονόσι, τὸ πλεῖον παρακαλεῖν

Sext. Julius Cæsar legatus ad Achæos.

[a] Hæc et sequens Ecloga desiderantur in Cod. Bav. [b] ἐπὶ τὸ adfertur in Notis Ursini, nec male. Si hoc prætuleris, fuerit comma delendum post Ἀχαιῶν, ut cohæreant verba ὁρμηκότων ἐπὶ τὸ παραδειγμ.

(*Legatio CXLIII.*)

* * *

QUUM ea *legatio*, cujus princeps fuerat *Aurelius*, Romam e *Peloponneso* rediisset, et quæ sibi accidissent, renunciasset, quam prope esset factum, ut et vitæ et omnium rerum periculum adirent, atque eam rem ipsi verborum inusitata atrocitate auxissent; (neque enim sic illa narrabant, ut casu in tantum periculum incidisse videri possent; sed quasi certo consilio eos invasisset Achæi, ut exemplum in ipsos statuerent:) indignari senatus, ut si umquam alias, et statim legationem decernere, cujus princeps *Julius* fuit. Ii legati eum hujusmodi mandatis missi sunt; ut *leniter ac mode-*

Ol. 158. 1. καὶ διδάσκειν τοὺς Ἀχαιοὺς, μήτε τοῖς ἐπὶ τὰ χείριστα παρακαλοῦσι προσέχειν, μήτ' αὐτοὺς λαθεῖν εἰς τὴν πρὸς Ῥωμαίους ἀλλοτριότητα [c]διεμπεσόντας· ἀλλ' ἔτι 5
καὶ νῦν ποιήσασθαί τινα διόρθωσιν τῶν ἠγνοημένων, ἀπερεισαμένους τὴν ἄγνοιαν ἐπὶ τοὺς αἰτίους τῆς ἁμαρτίας.

Leniter cum Achæis agit senatus.

Ἐξ ὧν καὶ λίαν δῆλον ἐγένετο, διότι καὶ τοῖς 6
περὶ τὸν Αὐρήλιον ἔδωκε τὰς ἐντολὰς, οὐ διασπᾶσαι βουλομένη τὸ ἔθνος, ἀλλὰ πτοῆσαι καὶ καταπλήξασθαι βουλομένη τὴν αὐθάδειαν καὶ τὴν ἀπέχθειαν τῶν Ἀχαιῶν. Τινὲς μὲν οὖν ὑπελάμβανον καθ' ὑπόκρισιν 7
τοὺς Ῥωμαίους [[d]τοῦτο ποιῆσαι,] διὰ τὸ μένειν ἀτελῆ τὰ κατὰ Καρχηδόνα. Τὸ δ' ἀληθὲς οὐχ οὕτως εἶχε· 8
ἀλλὰ παραδεδεγμένοι τὸ ἔθνος ἐκ πολλοῦ χρόνου, καὶ νομίζοντες, ἔχειν αὐτὸ πίστιν μάλιστα τῶν Ἑλληνικῶν, ἀνασοβῆσαι μὲν ἔκριναν, διὰ τὸ φρονηματίζεσθαι πέρα τοῦ δέοντος, πόλεμον δ' ἀναλαβεῖν ἢ διαφορὰν ὁλοσχερῆ πρὸς τοὺς Ἀχαιοὺς οὐδαμῶς ἐβούλοντο.

*

Sex. Cæsar agit cum Achæis.

II. Οἱ δὲ περὶ τὸν Σέξτον, προάγοντες ἐκ τῆς Ῥώμης εἰς τὴν Πελοπόννησον, ἀπήντησαν τοῖς περὶ τὸν Θεαρίδαν· οἳ ἦσαν πρεσβευταὶ πεμφθέντες ὑπὸ τῶν Ἀχαιῶν, 2

[c] διεμπεσόντας revocavi ex editione Ursini, quod in διαπεσόντας mutavit Casaub. διεκπεσόντας voluit Reisk. [d] Verba τοῦτο ποιῆσαι, quæ desiderantur vulgo, adjeci ex Ursini et Reiskii conject.

rate increparent Achæos, et de injuria accepta cum iis expostularent; magis tamen ut *eos cohortarentur, ne pessimorum consiliorum auctoribus aures præberent, neve alienari se a populi Romani amicitia per imprudentiam sinerent: esse autem adhuc tempus emendandi quod peccatum fuisset, si auctores sceleris culpam præstare cogerent.* Ex quibus constare etiam liquido potuit unicuique, ne illa quidem mandata, quæ Aurelio data fuerant, eo spectasse ut gentis Achæorum distraheretur concilium; sed ut, pavore terroreque injecto, pervicaciam et odium Romani nominis castigarent. Erant quidem igitur, qui existimarent, simulate hæc agi a Romanis; quod Carthaginiensi bello finis nondum esse impositus. Sed aliter omnino res habuit. Nam quia *Achæorum* gentem dudum in amicitiam suam receperant, plusque in ea fidei esse credebant, quam in ullo alio Græciæ populo; terrere quidem eos decreverant, quod spiritus supra quam par esset attollerent: bellum vero suscipere, aut omnino amicitiam cum illis prorsus rumpere nullo modo volebant.

*

Legatio CXLIV.

II. *Sextus Cæsar*, Roma in Peloponnesum tendens, in Thearidam ceterosque legatos incidit, quos Achæi mise-

παραστησόμενοι καὶ διδάξοντες τὴν σύγκλητον ὑπὲρ τῶν A. U. 607.
εἰς τοὺς περὶ τὸν Αὐρήλιον γενομένων ᵉἀσελγημάτων. Sex. Cæsar agit cum Achæis.
3 Οἷς καὶ συμμίξαντες οἱ προειρημένοι, παρεκάλεσαν
αὐτοὺς ἀνακάμπτειν εἰς τὴν Ἀχαΐαν, ὅτι περὶ πάντων
τούτων ἔχουσιν ἐντολὰς αὐτοὶ διαλέγεσθαι τοῖς Ἀχαιοῖς.
4 Παραγενομένων δὲ τῶν περὶ τὸν Σέξτον εἰς τὴν Πελο-
πόννησον, καὶ διαλεγομένων τοῖς Ἀχαιοῖς ἐν τῇ τῶν
Αἰγιέων πόλει, καὶ προφερομένων πολλοὺς καὶ φιλαν-
5 θρώπους λόγους· καὶ τὸ περὶ τοὺς πρεσβευτὰς ἔγκλημα
παραπεμπόντων, καὶ σχεδὸν οὐδὲ ᶠπροσδεομένων δικαιο-
λογίας, ἀλλὰ βέλτιον ἐκδεχομένων τὸ γεγονὸς αὐτῶν
τῶν Ἀχαιῶν, καθόλου δὲ παρακαλούντων μὴ πορρωτέρω
προβῆναι τῆς ἁμαρτίας, μήτε τῆς εἰς αὐτοὺς, μήτε
6 τῆς εἰς τοὺς Λακεδαιμονίους· τὸ μὲν σωφρονοῦν μέρος
ἀσμένως ἀπεδέχετο τὰ λεγόμενα, καὶ λίαν ἐνετρέπετο,
συνειδὸς αὑτῷ τὰ πεπραγμένα, καὶ πρὸ ὀφθαλμῶν
λαμβάνον τὰ συμβαίνοντα τοῖς πρὸς Ῥωμαίους ἀντι-
7 ταττομένοις. τὸ δὲ πλῆθος τῶν ἀνθρώπων ἀντιλέγειν
μὲν οὐδὲν εἶχε τοῖς ὑπὸ τῶν περὶ τὸν Σέξτον λεγομένοις
δικαίοις, ἀλλ' ἦγε τὴν ἡσυχίαν, ἔμενε δὲ νοσοῦν καὶ
8 διεφθαρμένον. Οἱ δὲ περὶ τὸν Δίαιον καὶ Κριτόλαον, Diæus et Critolaus, pestes gentis.
καὶ πάντες οἱ μετέχοντες αὐτοῖς τῆς αὐτῆς γνώμης·
οὗτοι δὲ ἦσαν, ὥσπερ ἐπίτηδες, ἐξ ἑκάστης πόλεως κατ'

ᵉ ἀσελγημάτων correxit Urs. ἀλγημάτων MS. ᶠ προσδεόμενων sua auctoritate Casaubonus edidit. προσδεόμενον habet Ursinus.

rant, ut de Aurelio, qui in legatione sua fuerat fœdo facinore violatus, rationem senatui redderent, et rei veritatem ipsum docerent. Cum his locutus *Sextus*, auctor suasorque iis exstitit, in Achaiam revertendi: sibi enim esse datum negotium, ut de his omnibus cum Achæis ageret. Qui postquam in Peloponnesum venit, cum Achæis in *Ægiensium* urbe colloquium habuit. Et quum esset ejus oratio prolixa humanitate temperata, nullamque de scelere in legatos admisso faceret mentionem, ut ne excusatione quidem ulla propemodum opus esse videretur, sed clementius, quam ipsi Achæi, illud factum interpretaretur; hortaretur denique eos, ut *neque Romanos neque Lacedæmonios injuriis lacessere amplius vellent;* saniori quidem Achæorum parti gratissimi erant hujusmodi sermones: terrebat enim optimum quemque admissi facinoris conscientia, jamque ob oculos illis erant omnia mala, quæ populi Romani hostibus evenire solent. At vulgus hominum, etsi quid opponeret justissimæ *Sexti* orationi habebat nihil, ac propterea silebat, nihilominus tamen ægram mentem et corruptam servabat. At *Diæus*, et *Critolaus*, et quicumque alii ejusdem cum istis consilii participes erant; qui ex omnibus civitatibus quasi de industria delecti

Ol. 158. 1. ἐκλογὴν οἱ χείριστοι, καὶ τοῖς θεοῖς ἐχθροὶ, καὶ λοιμῶν
αἴτιοι· * * [f]τὸ δὲ ἔθνος, καθάπερ [g]ἐν παροιμίᾳ ἐστὶν, οὐ 9
μόνον τὰ διδόμενα τῇ δεξιᾷ παρὰ Ῥωμαίων ἐδέχοντο τῇ
[h]λαιᾷ χειρί· καθόλου δὲ καὶ συλλήβδην παρέπαιον
τοῖς λογισμοῖς. ὑπέλαβον γὰρ, τοὺς Ῥωμαίους, διά τε 10
τὰς ἐν τῇ Λιβύῃ καὶ τὰς κατὰ τὴν Ἰβηρίαν πράξεις,
δεδιότας τὸν ἀπὸ τῶν Ἀχαιῶν πόλεμον, πᾶν ὑπομένειν,
Achæorum responsum. καὶ πᾶσαν προΐεσθαι φωνήν. Διὸ νομίσαντες ἴδιον τὸ 11
παρὸν, ἀπεκρίθησαν φιλανθρώπως τοῖς πρεσβευταῖς, τοὺς
μὲν περὶ τὸν Θεαρίδαν ὅμως [i]ἀποστέλλειν εἰς τὴν σύγ-
κλητον· αὐτοὶ δὲ παρακολουθήσαντες εἰς τὴν Τεγέαν,
καὶ κοινολογηθέντες τοῖς Λακεδαιμονίοις, [k]* ἵνα γένηταί
τις ὡμολογημένη [l]λύσις τοῦ πολέμου. Ταῦτα δ' ἀπο- 12
κριθέντες, ἐν τοῖς ἑξῆς ἦγον ἐπὶ τὴν πάλαι προκειμένην
αὐτοῖς ἄγνοιαν τὸ ταλαίπωρον ἔθνος. καὶ τοῦτ' εἰκότως 13
συνέβαινε γίγνεσθαι, δι' ἀπειρίαν καὶ κακίαν τῶν κρα-
τούντων.

Tegeam pergit Sextus. III. Τὸ δὲ τέλος τῆς ἀπωλείας ἠνύσθη τοιῷδέ τινι
τρόπῳ. Παραγενομένων γὰρ εἰς τὴν Τεγέαν τῶν περὶ 2
τὸν Σέξτον, καὶ τοὺς Λακεδαιμονίους ἐπισπασαμένων
χάριν τοῦ σύμφωνον αὐτοῖς γενέσθαι πρὸς τοὺς Ἀχαιοὺς

[f] Suspicatus sum λοιμῶν αἴτιοι τῷ ἔθνει. Sic nulla fuerit lacuna. [g] ἐν παροιμίᾳ ἐστὶν ex conject. scripsi: sed verba οὐ μόνον malim ante ista reposita. In MSto erat ἐν παροιμίᾳ ἔφη. Unde Reiskius ἐφυμνοῦμεν suspicatus est legend. pro ἔφη οὐ μόνον. Vulgo ex Ursini ingenio editur ἡ παροιμίᾳ ἔφη. [h] λαιᾷ correxit Ursinus. μιᾷ erat in cod. [i] ἀποστελεῖν maluit Reisk. [k] *Lacunæ signum*, quod vulgo in fine post τοῦ πολέμου ponebatur, ante ἵνα γένηται reposui. Supplere Reiskius jussit ἐπιμεληθήσεσθαι aut aliquid simile. Nec sic tamen satis sana oratio. [l] Vulgo λύσις περὶ τοῦ πολέμου. Delevi præposit. monente eodem Reiskio.

fuerant, pessimus quisque, et diis exosus, pestes suæ gentis: hi igitur non solum, *quæ dextra dabantur a Romanis*, ut est in proverbio, *læva accipiebant manu;* sed plane, ut verbo expediam, delirabant. Existimabant enim universi, Romanos propter bella, quæ in Africa atque Hispania gerebant, metu Achæorum, ne et hi arma in ipsos sumerent, quidvis pati et quidvis dicere paratos esse. Idcirco suum hoc tempus esse rati, legatis quidem benigne respondent: *velle se nihilominus Thearidam legatum Romam ad senatum mittere; ipsi interim Tegeam irent, et cum Lacedæmoniis agerent, ut de consensu omnium finis aliquis huic bello imponatur.* Hoc dato responso, miseram gentem in societatem destinatæ pridem malitiæ suæ deinceps trahunt. Neque hoc sane mirum, quum et rerum omnium rudes et pravi homines essent, qui ad gubernacula publicæ rei tunc sedebant.

III. Ultima vero pernicies hoc modo est consummata. Quum Tegeam profectus esset *Sextus*, et Lacedæmonios eo accivisset, ut communi consensu sta-

τήν τε περὶ τῶν προγεγονότων ἐγκλημάτων δικαιοδοσίαν, A. U. 607.
καὶ τὴν κατὰ τὸν πόλεμον ἐποχὴν, ἕως ἂν πέμψωσι
3 Ῥωμαῖοι τοὺς περὶ τῶν ὅλων ἐπισκεψομένους· συνεδρεύ- Critolaus
σαντες οἱ περὶ τὸν Κριτόλαον ἔκριναν, [m] πλείστους μὲν decipit
ἄλλους διακλίναι τὴν ἀπάντησιν, τὸν δὲ Κριτόλαον Sextum.
4 προάγειν εἰς τὴν Τεγέαν. [n] Ὁ μὲν οὖν προειρημένος,
ἤδη σχεδὸν ἀπηλπικότων τῶν περὶ τὸν Σέξτον, ἦλθε.
5 Γενομένης δὲ συγκαταστάσεως πρὸς τοὺς Λακεδαιμο-
νίους, εἰς οὐδὲν συγκατέβαινεν, φήσας, οὐκ ἔχειν ἐξου-
σίαν οὐδὲν οἰκονομεῖν ἄνευ τῆς τῶν πολλῶν γνώμης·
ἐπανοίσειν δὲ τοῖς Ἀχαιοῖς εἰς τὴν ἑξῆς, ἔφη, σύνοδον,
6 [o] ἥτις ἔμελλε γενέσθαι μετὰ μῆνας ἕξ. Διὸ σαφῶς
ἐγιγνόντες οἱ περὶ τὸν Σέξτον ἐθελοκακοῦντα τὸν Κριτό-
λαον, καὶ δυσχεραίνοντες ἐπὶ τοῖς ἀπαντωμένοις, τοὺς
μὲν Λακεδαιμονίους ἀπέλυσαν εἰς τὴν οἰκείαν· αὐτοὶ δ'
ἐπανῆγον εἰς τὴν Ἰταλίαν, κατεγνωκότες ἄγνοιαν καὶ
7 μανίαν τοῦ Κριτολάου. Ὁ δὲ Κριτόλαος, χωρισθέντων Ad odium
τούτων, ἐπιπορευόμενος κατὰ τὸν χειμῶνα τὰς πόλεις, Roman.
ἐκκλησίας συνῆγε, προφάσει μὲν χρώμενος, ὅτι βού- concitat
λεται τὰ ῥηθέντα πρὸς τοὺς Λακεδαιμονίους [p] καὶ πρὸς Achæos.
8 τοὺς ἐν τῇ Τεγέᾳ διασαφεῖν αὐτοῖς· τῇ δ' ἀληθείᾳ,
κατηγορίαν ποιούμενος Ῥωμαίων, καὶ πᾶν τὸ λεγόμενον

[m] Utique τοὺς μὲν ἄλλους malim. [n] Ὁ et προειρημένος correxit Urs. οἱ et προειρημένοι erat in cod. [o] ἥτις ἔμελλε γενέσθαι idem correxit Urs. cum in cod. esset σύνοδον αὐτῇ γενέσθαι. [p] Verba καὶ πρὸς post Λακεδαιμονίους *deleta* voluit Reisk.

tuerent cum de satisfactione pro acceptis injuriis, tum de cessatione belli, donec mitterentur a Romanis, qui de summa rerum statuerent; interim consultans *Critolaus* cum suis, faciendum decrevit, ut ceteri quidem ad indictum cœtum non venirent, sed solus *Critolaus* Tegeam se conferret. Eo igitur ille, postquam *Sextus* omnem prope jam spem ejus adventus amiserat, pervenit. Ubi vero cœptum est de controversiis disputari cum Lacedæmoniis; nihil remittens *Critolaus*, dixit, *absque populi consensu de nulla re statuere se posse; ceterum omnia se ad Achæos proximo conventu*, (is post sex menses erat celebrandus,) *relaturum*. Igitur *Sextus*, satis intelligens, Critolaum data potestate de industria uti nolle, iniquo animo quod acciderat ferens, Lacedæmoniis domum suam dimissis, in Italiam est reversus, hoc de Critolao judicium referens, et pravi ingenii hominem esse, et plane furiosum. *Critolaus* autem, post hujus discessum, civitates omnes per hiemem circumiens, populum ubique in concionem vocare; in speciem quidem, ut quæ acta cum Lacedæmoniis essent, et cum iis qui Tegeam convenerant, exponeret; re autem vera, ut Romanos accusaret, omnia illorum dicta in dete-

Ol. 158. 1. ὑπ' ἐκείνων ἐπὶ τὸ χεῖρον ἐκδεχόμενος. Ἐξ ὧν δυσμέ- 9
νειαν καὶ μῖσος ἐνειργάζετο τοῖς ὄχλοις. Ἅμα δὲ 10
τούτοις παρήγγειλε τοῖς ἄρχουσι, μὴ πράττειν τοὺς
ὀφειλέτας, μηδὲ παραδέχεσθαι τοὺς ἀπαγομένους εἰς
φυλακὴν πρὸς τὰ χρέα, καὶ τοὺς ἐράνους ἐπιμόνους
ποιεῖν, ἕως ἂν λάβῃ τὰ τοῦ πολέμου κρίσιν. Λοιπὸν 11
ἐκ τῆς τοιαύτης δημαγωγίας πᾶν τὸ λεγόμενον ὑπ'
αὐτοῦ πιστὸν ἐγίγνετο, καὶ πρὸς πᾶν τὸ παραγγελλό-
μενον ἕτοιμον ἦν τὸ πλῆθος, [q]περὶ μὲν οὖν τοῦ μέλλοντος
ἀδυνατοῦν προνοεῖσθαι, τῇ δὲ [r]παρ' αὐτὰ χάριτι καὶ
ῥᾳστώνῃ δελεαζόμενον.

Q. Cæcilius, præses Maced. legatos mittit ad Achæos.

IV. Ὁ δὲ Κόϊντος ὁ Καικίλιος, ἐν τῇ Μακεδονίᾳ
τάδε πυνθανόμενος, καὶ τὴν ἐν Πελοποννήσῳ γενομένην
ἀκρισίαν καὶ ταραχὴν, ἐξέπεμψε πρεσβευτὰς, Γνάϊον
Παπείριον, καὶ τὸν [s]νεώτερον * *, σὺν δὲ τούτοις, Αὖλον
Γαβίνιον, καὶ Γάϊον Φάννιον· οἳ καὶ, συνηγμένων τῶν 2
Ἀχαιῶν εἰς Κόρινθον, κατὰ τύχην ἐλθόντες εἰς τοῦτον
τὸν καιρὸν, καὶ παραχθέντες εἰς τὰ πλήθη, διετίθεντο
πολλοὺς οὗτοι καὶ φιλανθρώπους λόγους, παραπλησίους
τοῖς τῶν περὶ τὸν Σέξτον· πᾶσαν ἐνδεικνύμενοι φιλοτι- 3
μίαν, χάριν τοῦ μὴ παραβῆναι τοὺς Ἀχαιοὺς εἰς
ὁλοσχερεστέραν ἀπέχθειαν πρὸς Ῥωμαίους, μήτε διὰ

[q] Delere οὖν jussit Reisk. [r] παρ' αὐτὰ correxi, monente eodem Reisk. Vulgo παρ' αὐτοῦ. [s] Post νεώτερον *hiatum* indicare malui, quam corruptum nomen ἀλίωνα μαῖνον exhibere, quod erat in cod. Ursini; quod temere Ursinus in Σκηπίωνα Ἀφρικανὸν mutavit. Acutius Freinshemius Αἴλιον Λαμίαν, *Ælium Lamiam*, suspicatus est.

rius interpretans. Qua ratione efficiebat, ut vulgi turba ubique inimicitias atque odium ingens Romani nominis conciperet. Simul cum magistratibus egit, ut exigendi nomina jus ne esset creditoribus, neve ducentem sequi æris alieni gratia necesse esset, ad belli finem usque debitorum solutione dilata. His igitur artibus delinita plebes, quidquid ille diceret, pro certo habere, quidquid imperaret, velle exsequi. Quippe multitudo, futuri improvida, præsenti beneficio et levamento inescabatur.

IV. Tum vero *Q. Cæcilius*, Macedoniæ præses, cognito, quam pravis consiliis, quamque perturbate res in Peloponneso administrarentur, *Cn. Papirium* et juniorem * legatos misit, et una cum his *Aulum Gabinium* et *C. Fannium*. Hi, quum Achæorum concilium Corinthi celebraretur, forte ipsi eodem tempore illuc adveniunt, productique ad populum singulari humanitate conditos sermones habent, iis, plane geminos, quibus ante Sextus fuerat usus; summo studio impedire contendentes, ne Achæi, vel propter discordias, quæ illis erant cum Lacedæmoniis, vel propter alienatam men-

τῆς πρὸς Λακεδαιμονίους προφάσεως, μήτε διὰ τῆς πρὸς A. U. 607.
4 αὐτοὺς ἐκείνους ἀλλοτριότητος. Ὧν οἱ μὲν πολλοὶ Legati Rom. ejiciuntur concione
διακούοντες, οὐδαμῶς ἀνείχοντο· χλευάζοντες δὲ τοὺς
5 πρέσβεις μετὰ θορύβου καὶ κραυγῆς ἐξέβαλλον. καὶ
γὰρ συνηθροίσθη πλῆθος [t] ἐργαστηριακῶν καὶ βαναύσων
ἀνθρώπων, ὅσον οὐδέποτε· [καὶ] [u] πᾶσαι μὲν [x] ἐκόρυζον
αἱ πόλεις, πανδημεὶ δὲ καὶ μάλιστά πως ἡ τῶν Κοριν-
6 θίων. Ὀλίγοις δέ τισι καὶ λίαν ἤρεσκε τὰ λεγόμενα
7 διὰ τῶν πρεσβευτῶν. Ὁ δὲ Κριτόλαος, ὥσπερ κατ᾽ Critolaus insolens in Romanos,
εὐχὴν ὑποθέσεως ἐπειλημμένος, καὶ θεάτρου συνενθου-
σιῶντος καὶ παρεστηκότος ταῖς διανοίαις, κατανίστατο
μὲν τῶν ἀρχόντων, διέσυρε δὲ τοὺς ἀντιπολιτευομένους,
ἐνεπαῤῥησιάζετο δὲ τοῖς τῶν Ῥωμαίων πρεσβευταῖς·
8 φάσκων, βούλεσθαι μὲν [y] Ῥωμαίους φίλους ὑπάρχειν,
9 δεσπότας δ᾽ οὐκ ἂν εὐδοκῆσαι κτησάμενος. Καθόλου δὲ Achæos ad bellum concitat.
[z] παρῄνει, λέγων, ὡς, ἐὰν μὲν ἄνδρες ὦσιν, οὐκ ἀπορή-
10 σουσι συμμάχων· ἐὰν δ᾽ ἀνδρόγυνοι, κυρίων. καὶ πολλὰ
δή τινα πρὸς ταύτην τὴν ὑπόθεσιν [a] ἐμπορεύων καὶ μεθο-
11 δευόμενος, ἐκίνει καὶ παρώξυνε τοὺς ὄχλους. Ἐποίει δ᾽
ἐμφάσεις καὶ περὶ τοῦ μὴ τυχόντως χρῆσθαι ταῖς

[t] Forsan ἐργαστικῶν. [u] καὶ ante πᾶσαι ex conject. inserui; monente etiam Reiskio. [x] ἐκορύζων voluit Reisk. [y] Ῥωμαίων erat in Ursini cod. Hinc Ῥωμαίων φίλος voluerat Reisk. [z] Forsan excidit πρὸς τὸν πόλεμον. παρῄνει suspicatus est Reisk. [a] Pro ἐμπορεύων, idem conjecerat ἐμπειρεύων.

tem ab ipsius populi Romani amicitia, odium illius penitus susciperent. Hæc quum audiret multitudo non se continuit; sed legatos subsannans, cum tumultu ac clamore concione ejecit. Tanta enim hominum, in officinis degere adsuetorum, et sordidas artes exercentium, turba convenerat, quanta vix temere alias: et quum omnes tunc civitates stultitia, quasi populari quodam morbo, tenerentur; Corinthiorum tamen præ ceteris publica exstitit amentia insignita. Pauci quidam fuere, quibus legatorum oratio adprime placebat. At *Critolaus*, exoptatam occasionem nactus, et concionem etiam pariter secum furentem et alienatam mente, adversus magistratus cœpit insurgere, calumniari quicumque a se in republica dissentirent, licenterque insultare Romanorum legatis, dicens, *socios quidem habere se velle Romanos; dominos non passurum.* Hortari denique Achæos ac dicere, si viri essent, socios non defuturos: sin autem semiviri, dominos. Multa item alia in eam sententiam mendacium mercatorum ad instar jactans, et ad fallendum comminiscens, hominum fæcem commovebat atque concitabat. Quin etiam ex dictis factisque suis intelligi volebat, non temere hæc se

S 4

Ol. 158. 1. ἐπιβολαῖς· ἀλλὰ καὶ τῶν βασιλέων τινὰς, καὶ [b]τῶν
πολιτευμάτων ἔνια κοινωνεῖν αὐτῷ τῆς προθέσεως.

Critolaus Achæos concitat adv. Romanos.

V. Τῶν δὲ τῆς γερουσίας βουλομένων ἐπιλαμβάνε-
σθαι καὶ κωλύειν αὐτὸν τῶν τοιούτων λόγων· περι-
σπασάμενος τοὺς στρατιώτας, κατανίστατο, κελεύων
προσελθεῖν, ἐγγίσαι, τολμῆσαί τινα μόνον ἅψασθαι
τῆς χλαμύδος. Καθόλου δ', ἔφη, πολὺν ἤδη χρόνον 2
παρακατεσχηκὼς αὑτὸν, οὐκ ἔτι δύνασθαι καρτερεῖν,
ἀλλ' ἐρεῖν τὸ φαινόμενον. δεῖν γὰρ οὐ Λακεδαιμονίους, 3
οὐδὲ Ῥωμαίους ἀγωνιᾷν οὕτως, ὡς τοὺς ἐξ αὑτῶν συνερ-
γοῦντας [c]τοῖς ἐχθροῖς· εἶναι γάρ τινας, τοὺς πλεῖον
Ῥωμαίοις εὐνοοῦντας καὶ Λακεδαιμονίοις, ἢ τοῖς σφε-
τέροις πράγμασι. Καὶ τούτων πίστιν ἔφερεν. Ἔφη 4
γὰρ, Εὐαγόραν τὸν Αἰγιέα, καὶ τὸν Τριτταιέα [d]Στρα-
τήγιον, πάντα τὰ λεγόμενα δι' ἀποῤῥήτων ἐν ταῖς
συναρχίαις διασαφεῖν τοῖς περὶ τὸν Γναῖον. Τοῦ δὲ 5
[d]Στρατηγίου συμμεμιχέναι μὲν τοῖς ἀνθρώποις ὁμολο-
γοῦντος, καὶ μετὰ ταῦτα συμμίξειν φάσκοντος, φίλοις
οὖσι καὶ συμμάχοις, ἀνηγγελκέναι δὲ ὀρκιζόμενος μηδὲν
τῶν ἐν ταῖς συναρχίαις εἰρημένων· ὀλίγοι μέν τινες ἐπί-
στευον, οἱ δὲ πλείους προσεδέχοντο τὰς διαβολάς. Ὁ 6

[b] τῶν πολιτευμάτων ex Ursini ingenio est profectum. In cod. erat τῶν πολιτευομένων, quod si servatum cupis, intelliges eos *qui rebuspublicis præsunt.*
[c] τοῖς ἐχθροῖς ex ora cod. in contextum recepit Urs. quum ibi esset τοῖς αὐτοῖς. αὐτοῖς absque artic. maluerat Reisk.
[d] Pro Στρατήγιον et Στρατηγίου videtur utique Στράτιον et Στρατίου legendum.

moliri; verum et regum nonnullos, et quasdam etiam respublicas conspirare secum in eodem proposito.

v. Quum vero reprehendere ipsum senatus vellet, et, ne ejusmodi sermones haberet, impedire; secedere jussis militibus qui ipsum stipabant, contra surrexit, jubens *accedere quemquam et adpropinquare sibi, audereque vel chlamydem suam adtingere.* Postremo dixit, *quum perdiu se continuisset ægre, temperare jam sibi amplius non posse, quo minus animi sui sententiam aperiret. Scilicet, debere Achæos non tam ab Lacedæmoniis aut Romanis timere, quam civibus suo ex numero, qui cum hostibus facerent: esse enim nonnullos, qui Romanis et Lacedæmoniis magis, quam suæ reipublicæ, faveant.* Cujus accusationis ut fidem faceret, adjecit, *Evagoram Ægiensem et Strategium* [sive *Stratium*] *Trittæensem omnia, quæ arcano dicerentur in conventibus magistratuum, Cnæo (Papirio) solere renunciare.* Strategio vero, *locutum quidem se cum Romanis*, fatente, *et posthac etiam locuturum* confirmante, *utpote qui amici ac socii gentis Achæorum essent, sed renunciasse illis nihil eorum, quæ in conventibus magistratuum essent dicta, ut qui silentium jurasset;* pauci fuere, qui fidem illius verbis haberent; plures pronis auribus calumnias admiserunt. *Critolaus*

δὲ Κριτόλαος παροξύνας τοὺς ὄχλους, διὰ τῆς τούτων κατηγορίας ἔπεισε τοὺς Ἀχαιοὺς, πάλιν ψηφίσασθαι, λόγῳ μὲν, τὸν πρὸς Λακεδαιμονίους πόλεμον, ἔργῳ
7 δὲ τὸν πρὸς Ῥωμαίους· καὶ προσεμέτρησεν ἕτερον ψήφισμα παράνομον, ὥστε [e]κυρίους εἶναι τοὺς ἀνθρώπους, οὓς ἂν [f]ἐπὶ στρατηγίᾳ αἱρήσωνται· δι' ἃ τρόπον τινὰ
8 μοναρχικὴν ἀνέλαβεν ἐξουσίαν. Οὗτος μὲν οὖν ταῦτα διοικησάμενος, ἐγίγνετο περὶ τὸ πραγματοκοπεῖν, καὶ Ῥωμαίοις ἐπιβάλλειν τὰς χεῖρας, οὐδενὶ λόγῳ τοῦτο πράττων, ἀλλὰ πάντων ἀσεβεστάτοις καὶ παρανομω-
9 τάτοις ἐπιβαλόμενος. Τῶν δὲ πρέσβεων ὁ μὲν Γναῖος ἐς Ἀθήνας ἀπῆρεν, κἀκεῖθεν εἰς Λακεδαίμονα, προσεδρεύσων τοῖς καιροῖς, ὁ δ' [g]Αὖλος εἰς Ναύπακτον, οἱ δὲ δύο μέχρι τῆς τοῦ Καικιλίου παρουσίας ἔμειναν ἐν ταῖς Ἀθήναις. Καὶ τὰ μὲν κατὰ τὴν Πελοπόννησον ἐν τούτοις ἦν.

A. U. 607. Critolaus Achæos concitat adv. Romanos.

[e] πάντων κυρίους suspicatus est Reisk. [f] ἐπὶ στρατηγίᾳ ex ejusdem viri conject. scripsi. Vulgo ἐπὶ στρατοπιδείᾳ, quod ita interpretatus est Casaub. *ut quæcumque aliquis loca expeditione ista* (at id esset στρατείᾳ) *cepisset, eorum dominus esset.* [g] Αὖλος rursus Reiskii debeo ingenio. Vulgo ἄλλος. Αἴλιος suspicatus erat Freinshem.

vero, criminatione istorum concitata multitudine, persuasit Achæis, ut denuo *bellum* decernerent, verbis quidem *adversum Lacedæmonios*, revera *adversus Romanos*. Ac præterea iniquum alterum decretum expressit, ut summam (illius belli administrandi) potestatem haberent illi viri, quos prætores elegissent. Hoc ille pacto effecit, ut solus in Achæorum gente monarchicam, prope dixerim, potentiam obtineret. Atque his ita præstructis, sedulo id cœpit agere, ut res novas moliretur, et Romanos adgrederetur; sine caussa ille quidem; sed potius rem ausus maxime impiam atque injustissimam. E legatis *Cnæus* Athenas est profectus, inde Spartam, temporum occasiones eo loci præstolaturus: *Aulus* Naupactum abiit; reliqui duo, ad Cæcilii adventum usque, Athenis substiterunt. Ea tum *in* PELOPONNESO rerum facies erat.

ΤΗΣ ΤΡΙΑΚΟΣΤΗΣ ΕΝΝΑΤΗΣ

ΤΩΝ ΠΟΛΥΒΙΟΥ ΙΣΤΟΡΙΩΝ

ΤΑ ΣΩΖΟΜΕΝΑ.

Ex historia Excidii Carthaginis.

* * *

Ol. 158. 1. A. U. 607.

I. ΑΣΔΡΟΥΒΑΣ, [a] ὁ στρατηγὸς Καρχηδονίων, κενόδοξος ἦν καὶ ἀλαζὼν, καὶ πολὺ κεχωρισμένος τῆς πραγματικῆς καὶ στρατηγικῆς δυνάμεως. Πολλὰ δ' εἰσὶ (Asdrubal, dux Pœnorum.)
2 σημεῖα τῆς ἀκρισίας αὐτοῦ. Πρῶτον μὲν γὰρ παρῆν ἐν πανοπλίᾳ, ἡνίκα [b] Γολοσσῇ συνεγίγνετο, τῷ τῶν Νομάδων βασιλεῖ, πορφυρίδα θαλαττίαν ἐπιπεπορπημένος, (Gulussa, rex Numidarum.)
3 μετὰ μαχαιροφόρων δέκα. Ἔπειτα προβὰς ἀπὸ τῶν δέκα ὅσον εἴκοσι πόδας ἀπέστη, καὶ προβεβλημένος τάφρον καὶ χάρακα, κατένευε τῷ βασιλεῖ [c] προϊέναι
4 πρὸς αὐτὸν, καθῆκον γίγνεσθαι τοὐναντίον. Οὐ μὴν, ἀλλ' ὁ Γολοσσῆς, ἀφελῶς ἔχων Νομαδικῷ τινι τρόπῳ, μόνος προσῄει πρὸς αὐτόν· καὶ προσεγγίσας ἤρετο, τίνα
5 φοβούμενος τὴν πανοπλίαν ἔχων ἥκε. Τοῦ δ' εἰπόντος, (Asdrubalis colloquium cum Gulussa.)

[a] ὁ Καρχηδ. στρατ. est apud Suid. [b] Apud Suidam scribitur Γολόσση, Γολόσσης &c. [c] προσιέναι Suidas.

Excerptum Valesianum.

* * *

I. *ASDRUBAL*, dux *Carthaginiensium*, *ingenio* erat *vano et jactabundo*, et in rebus gerendis ab imperatoria virtute longe aberat. Vanitatis autem illius multa sunt documenta. Primum enim colloquium habiturus cum *Gulussa*, *Numidarum* rege, lorica et reliquis tectus armis accessit, chlamydem ex purpura marina gestans, fibula adstrictam, decemque stipatus satellitibus. Deinde a satellitio progressus viginti fere pedum spatio, vallo ac fossa, munitus, regi per nutum significavit, ut ad se accederet; quum utique contrarium fieri debuisset. Sed *Gulussa*, simplici cultus Numidarum more, solus ad eum accessit. Cumque adpropinquasset, interrogavit, *cujusnam metu thorace omnibusque armis contectus venisset.* Ille

Ol. 158. 1. Asdrubalis colloquium cum Gulussa.

ὅτι Ῥωμαίους· οὐκ ἂν ἄρ', ἔφησεν ὁ Γολοσσῆς, ἔδωκας
σαυτὸν εἰς τὴν πόλιν, μηδεμίαν ἔχων ἀνάγκην. Πλὴν 6
τί [d]βούλει καὶ τί παρακαλεῖς; φησίν. Ὁ δ' Ἀσδρού-
βας, ἐγὼ, φησὶ, πρεσβευτήν σε παρακαλῶ γενέσθαι πρὸς
τὸν στρατηγὸν, [e]καὶ πᾶν ἀναδέχεσθαι, διότι ποιήσομεν
τὸ προσταττόμενον· μόνον [f]ἀπόσχεσθε τῆς ταλαιπώρου
πόλεως ταύτης. Καὶ ὁ Γολοσσῆς, παιδικήν δοκεῖς μοι, 7
φησὶν, ἀξίωσιν ἀξιοῦν, ὦ βέλτιστε. ὑπὲρ ὧν γὰρ ἐξ 8
ἀκεραίου πρεσβευόμενοι, ἔτι καθημένων ἐν Ἰτύκῃ Ῥω-
μαίων, οὐκ ἐδύνασθε πείθειν, τίνι λόγῳ νῦν ἀξιοῖς ταῦτά
σοι συγχωρεῖσθαι, περιτετειχισμένος καὶ κατὰ γῆν καὶ
κατὰ θάλατταν, καὶ σχεδὸν [g]ἅπαξ ἀπεγνωκὼς τὰς τῆς
σωτηρίας ἐλπίδας. Ὁ δ' Ἀσδρούβας, ἀγνοεῖν αὐτὸν, 9
ἔφη. καὶ γὰρ ἐπὶ τοῖς ἔξωθεν συμμάχοις ἀκμὴν καλὰς
ἐλπίδας ἔχειν· (οὐ γὰρ που τὰ περὶ τοὺς [h]Μαυρουσίους
ἠκηκόει, [i]καὶ τὰ περὶ τῶν ὑπαίθρων δυνάμεων·) καὶ οὐκ
ἀπελπίζειν τὰ κατ' αὐτούς· μάλιστα δὲ πεποιθέναι τῇ
τῶν θεῶν συμμαχίᾳ καὶ ταῖς ἐν ἐκείνοις ἐλπίσιν. Οὐ 10
γὰρ περιόψεσθαι σφᾶς προφανῶς παρασπονδουμένους,
ἀλλὰ πολλὰς δώσειν ἀφορμὰς πρὸς σωτηρίαν. Διὸ 11
παρακαλεῖν ἠξίου τὸν στρατηγὸν, καὶ τῶν θεῶν ἕνεκεν
καὶ τῆς τύχης, φείσασθαι τῆς πόλεως· εἰδότα σαφῶς,

[d] βούλει correxi. Vulgo βούλῃ. [e] Forsan καὶ ἀναδέχεσθαι, διότι πᾶν ποιήσομεν. [f] ἀπόσχεσθε ex MSto revocavi. Vulgo ἀποσχέσθαι ex Valesii conject. [g] Forsan ἁπάσας. [h] Μαυρουσίους ex conject. scripsit Vales. Μαύρους erat in cod. [i] Vulgo καὶ τὰ περὶ τῶν ὑπαίθρων δυνάμεων, ὅτι σώζονται, καὶ οὐκ ἀπελπ. Priora verba cum præcedentibus parenthesi includenda putavi, et verba ὅτι σώζονται delevi, ut importune adsuta, nisi forte excidit πειθόμενος ὅτι σώζ. aut aliquid simile.

cum *Romanos metuere se* dixisset: *recte vero,* inquit Gulussa; *ni enim ita esset, numquam te in urbem inclusisses, nulla præsertim necessitate impulsus. Sed agedum, quid est quod postulas? Ego vero,* ait Hasdrubal, *a te peto, ut apud imperatorem Romanum legationem obire velis, ac spondere, nos imperata cuncta esse facturos: modo ab hac misera civitate abstinete!* At Gulussa, *Puerile,* inquit, *videtur esse, quod flagitas, vir bone. Quæ enim rebus adhuc integris, legatione missa, sedentibus etiam tum Uticæ Romanis, impetrare non potuistis, qua nunc ratione adductus tibi concedi postulas, cum undique terra ac mari operibus circumdatus, nulla propemodum salutis reliqua spe, teneare?* Hasdrubal vero, *falli eum,* respondit: *nam et foris sociorum auxiliis plurimum se confidere,* (quippe nondum acceperat nuncium de Mauris, nec de copiis regioni præsidentibus:) *neque porro se ipsos de rebus suis desperare: maxime vero in ope deorum immortalium spem repositam habere. Non enim neglecturos Deos injurias Pœnis illatas, ac fœderum violationem; sed multas ad salutem opportunitates sibi oblaturos.* Proinde rogabat, ut *imperatorem moneret, deorum ac fortunæ caussa civitati parcere ut vellet;*

διότι, μὴ, δυνάμενοι τυχεῖν τούτου, κατασφαγήσονται A. U. 607.
12 πρότερον, ἢ παραχωρήσουσι ταύτης. Τότε μὲν οὖν ταῦτα καὶ παραπλήσια διαλεχθέντες ἐχωρίσθησαν, ταξάμενοι μετὰ τρίτην ἡμέραν πάλιν συμπορεύεσθαι.

Gulussa et Scipio.

II. Τοῦ δὲ Γολοσσοῦ μεταδόντος τῷ στρατηγῷ περὶ τῶν εἰρημένων· γελάσας ὁ Πόπλιος, Ταῦτα μέλλων ἀξιοῦν, ἔφη, τοιαύτην καὶ τηλικαύτην ἀσέβειαν εἰς τοὺς αἰχμαλώτους ἡμῶν ἐνεδείξω, καὶ νῦν ἐπὶ τοῖς θεοῖς τὰς [k]ἐλπίδας ἔχεις, παραβεβηκὼς [[l]τοὺς θείους] καὶ τοὺς
2 τῶν ἀνθρώπων νόμους. Τοῦ δὲ βασιλέως βουλομένου τι προσυπομιμνήσκειν τὸν Σκιπίωνα, καὶ μάλιστα, [m]διότι
3 δεῖ συντέλειαν ἐπιτίθεσθαι τοῖς πράγμασι· χωρὶς γὰρ τῶν ἀδήλων καὶ τὴν κατάστασιν τῶν ὑπάτων ἤδη συνεγγίζειν, ἧς δεῖν, ἔφη, στοχάζεσθαι, μὴ, τοῦ χειμῶνος προκαταλαβόντος, ἐπελθὼν ἕτερος ἀκονιτὶ λάβῃ τὴν ἐπι-
4 γραφὴν τῶν ἐκείνου πόνων· καὶ δὴ τούτων λεγομένων, ἐπιστήσας ὁ στρατηγὸς ἐκέλευσεν ἀναγγέλλειν, διότι δίδωσι τὴν ἀσφάλειαν αὐτῷ καὶ γυναικὶ, καὶ τέκνοις, καὶ δέκα τῶν συγγενῶν φίλων οἰκίαις, σὺν δὲ τούτοις δέκα τάλαντα λαβεῖν ἐκ τῶν ἰδίων ὑπαρχόντων, καὶ τῶν
5 οἰκετῶν [n]ἐξ ἀνάγκης, οὓς ἂν [o]αἱρῆται. Ταῦτα μὲν οὖν ὁ Γολοσσῆς ἔχων τὰ φιλάνθρωπα, συνῄει πρὸς τὸν

Scipionis mandata ad Asdrubalem.

[k] ἐλπίδας ἔχεις correxit Vales. ἔχειν erat in cod. [l] Duo verba τοὺς θείους ex conject. adjecit idem Vales. Videri fortasse potiore jure poterat τοὺς τῶν θεῶν scriptum reliquisse Polybium: a quibus verbis in sequentia aberravit Librarius. [m] διότι δεῖ συντέλειαν ex conject. scripsi. Vulgo διότι συντελεῖ ἐπιτίθεσθαι. [n] Pro ἐξ ἀνάγκης Valesius suspicatus est ἕξ, *servos sex*, deleto vocab. ἀνάγκης. Equidem suspicatus eram ἐξενέγκαι vel ἐξενεγκεῖν. [o] αἱρῆται correxi. Vulgo αἱρεῖται.

et pro certo haberet, ni id impetrarint, prius omnes mactandos esse, quam deditionem facturos. His tum ac similibus dictis e colloquio discesserunt, constituto rursus in perendinum diem congressu.

II. Ubi vero *Gulussa* sermones utrimque habitos imperatori renunciavit; subridens *Scipio: Hæccine*, inquit, *postulaturus, tali tantaque impietate in captivos es nostros usus, et nunc in deorum ope spem positam habes, quum divina et humana jura violaris?* Inde Rex Scipionem admonere cum instituisset, *utile esse ipsius rationibus, finem bello imponere; nam, præter incertos casus martemque communem, comitia quoque consularia prospiciendum esse, ne, si interim præteriisset hiems, superveniens deinde alius titulum ac lauream ipsius laborum sine sudore interciperet:* hæc cum animadverteret Scipio, Gulussam id *Hasdrubali* renunciare jussit, *ipsi, uxorique ac liberis, et propinquorum amicorumque familiis decem, veniam ac securitatem Scipionem concedere: prœterea decem talenta ut ex bonis suis capiat, ac servos, quoscumque ex omni familia selegisset.* His mandatis satis humanis *Gulussa* tertio die

Ol. 158. 1. Ἀσδρούβαν τῇ τρίτῃ τῶν ἡμερῶν. Ὁ δὲ πάλιν ἐξεπο- 6
ρεύετο μετὰ μεγάλης ἀξίας ἐν τῇ πορφυρίδι καὶ τῇ
πανοπλίᾳ βάδην, ὥστε τοὺς ἐν ταῖς τραγῳδίαις τυράν-
νους πολύ τι προσοφείλειν. Ἦν μὲν οὖν καὶ φύσει 7
σάρκινος, τότε δὲ [p]καὶ κοιλίαν εἰλήφει, καὶ τῷ χρώ-
ματι παρὰ φύσιν ἐπικεκαυμένος ἦν, ὥστε δοκεῖν ἐν
πανηγύρει που διαιτᾶσθαι παραπλησίως τοῖς σιτευτοῖς
βουσὶν, ἀλλὰ μὴ τηλικούτων καὶ τοιούτων κακῶν προσ-
Asdrubalis responsum. τατεῖν, ὧν οὐδ᾽ ἂν ἐφίκοιτο τῷ λόγῳ διεξιὼν οὐδείς. Οὐ 8
μὴν, ἀλλ᾽ ἐπεὶ συνῆλθε τῷ βασιλεῖ, καὶ διήκουσε τῶν
ὑπὸ τοῦ στρατηγοῦ προτεινομένων, πολλάκις τὸν μηρὸν
πατάξας, τοὺς θεοὺς καὶ τὴν τύχην ἐπικαλεσάμενος,
οὐδέποτε ταύτην ἔσεσθαι τὴν ἡμέραν ἔφασκεν, ἐν ᾗ
συμβήσεται τὸν ἥλιον Ἀσδρούβαν βλέπειν ἅμα καὶ
τὴν πατρίδα πυρπολουμένην· καλὸν γὰρ ἐντάφιον εἶναι 9
τοῖς εὖ φρονοῦσι τὴν πατρίδα καὶ τὸ ταύτης πῦρ.
Ὥσθ᾽, [q]ὅτε μὲν εἰς τὰς ἀποφάσεις αὐτοῦ τις βλέψειε, 10
θαυμάζειν τὸν ἄνδρα καὶ τὸ μεγαλόψυχον τῶν λόγων·
ὅτε δ᾽ εἰς τὸν χειρισμὸν τῶν πραγμάτων, τὴν ἀγεννίαν
[r]καταπλήττεσθαι καὶ τὴν ἀνανδρίαν· ὃς πρῶτον μὲν, 11
τῶν ἄλλων πολιτῶν διαφθειρομένων ὁλοσχερῶς ὑπὸ τοῦ

[p] καὶ κοιλίαν cum Toupio scripsi. κοιλίαν ex Suida jam adsciverat Valesius, omissa partic. καὶ. καὶ λίαν erat in cod. Peiresc. quod defendit Reiskius, καὶ λίαν εἰλήφει (scil. τὴν σάρκα,) vel καὶ λίαν ἀνειλήφει. Apud Suidam autem est: ἦν μὲν οὖν καὶ φύσει σάρκινος, βαλὼν δὲ τὴν πανοπλίαν καὶ κοιλίαν εἰλήφει. [q] ὅτε μὲν adscivi ex Suida: vulgo ὅταν μὲν. [r] ἐκπλήττεσθαι Suid.

ad condictum cum *Hasdrubale* colloquium venit. At ille rursus paludamento purpureo armisque omnibus ornatus, cum magno adparatu lentoque gressu, processit; prorsus ut tyrannos, qui in tragœdiis spectantur, longe ab ea pompa abesse diceres. Et erat ille quidem natura corpulentus, tunc vero majorem etiam in modum excreverat hominis obesitas, et colore præter naturam erat adusto atque fusco, ut in mercatu alicubi degere videretur instar saginatorum boum, non civitatem regere tot ac tantis circumdatam calamitatibus, quantas nemo facile ne oratione quidem satis exprimere possit. Ceterum congressus cum *Gulussa*, et auditis conditionibus, quæ ipsi ab imperatore Romano offerebantur; femur identidem percutiens, deorumque ac fortunæ invocans fidem, *numquam eum diem adfore* dixit, *quo Hasdrubal solem simul adspiciat et patriam igne vastatam: patriæ enim conflagrantis ruinam bene animatis viris pulcerrimum rogi ornamentum esse.* Ita quidem, ut, si quis dicta illius spectaverit, miraturus sit hominem, orationisque pondus et gravitatem obstupescet: sin ejusdem in administrandis rebus intueatur rationem, miraturus sit ignaviam hominis ac mollitiem. Qui primum quidem, reliquis civibus fame funditus pereuntibus,

λιμοῦ, πότους αὐτὸς συνῆγε καὶ δευτέρας τραπέζας A. U. 607.
παρετίθετο πολυτελεῖς, καὶ διὰ τῆς ἰδίας εὐεξίας παρε-
12 δειγμάτιζε τὴν ἐκείνων ἀτυχίαν. Ἄπιστον μὲν γὰρ ἦν τὸ τῶν ἀποθνησκόντων πλῆθος· ἄπιστον δὲ τὸ τῶν αὐτο-
13 μολούντων καθ' ἡμέραν διὰ τὸν λίμον. Ἔπειτα τοὺς μὲν διαχλευάζων, οἷς δ' ἐνυβρίζων, καὶ φονεύων, κατε-πλήττετο τοὺς πολλούς· καὶ τούτῳ τῷ τρόπῳ συνεῖχε τὴν ἐξουσίαν, ἣ μόλις ἂν χρήσαιτο τύραννος ἐν εὐτυ-
14 χούσῃ πόλει, [s]καὶ ἐν δυστυχηκυίᾳ πατρίδι. Διὸ καὶ λίαν δοκῶ καλῶς ἡμῖν εἰρῆσθαι, διότι προστάτας πραγμάτων ὁμοιοτέρους τῶν παρὰ τοῖς Ἕλλησι τότε καὶ παρὰ τοῖς Καρχηδονίοις ὑπαρξάντων οὐκ ἂν εὕροι τις
15 ῥᾳδίως. τοῦτο δ' ἔσται δῆλον, ὅταν ἐκ παραθέσεως τὸν ὑπὲρ ἐκείνων [t]ποιησώμεθα λόγον.

* * *

Ol. 158. 2. A. U. 608. Asdrubal ad genua accidit Scipioni.

III. ([u]Ὁ δὲ σεμνὸς Ἀσδρούβας συνέπεσε τῷ στρατηγῷ πρὸς τὰ γόνατα, ἐπιλελησμένος τῆς μεγαλορρημοσύνης.)

*

2 ([u]Ὁ δὲ Ἀσδρούβας ἐβουλήθη, τούτῳ συμμίξας, καὶ φιλανθρωπηθεὶς, ἀπελθεῖν εἰς τοὺς ἔξω τόπους.)

[s] Præpositionem ex conject. inserui. Possis et καὶ εὖ δυστυχ. cum Reisk. suspicari. [t] ποιησώμεθα correxi. Vulgo ποιησόμεθα, sed in cod. erat ποιώμεθα. [u] Duo hæc incerti Auctoris fragmenta, ad Polybium ex conjectura retulit Valesius. Alia nonnulla Fragm. huc inserenda, exhibemus in Spicilegio Reliquiarum ex Libro XXXIX.

ipsi convivia agitabat, et secundas mensas opipare instructas adponebat, suæque cutis nitore ac pinguedine aliorum calamitatem traducebat. Eorum enim, qui quotidie præ fame aut peribant, aut transfugiebant, numerus credi vix potest. Et inter hæc ille, aliis illudens, alios contumelia adficiens, atque etiam occidens, terrori erat multitudini. Atque hujusmodi artibus in infelici etiam patria potestatem eam retinuit, qua vix ullus in civitate fortunata tyrannus uteretur. Quamobrem non sine caussa dixisse mihi videor, reipublicæ principes similiores iis, qui per id tempus et Carthagine et in Græcia fuerunt, haud facile posse reperiri. Id vero aliquanto clarius erit, cum utrosque invicem comparabimus.

* * *

III. Superbus vero ille *Asdrubal* imperatori ad genua accidit, superioris magniloquentiæ oblitus. (*Suidas in* Σεμνός.)

*

Asdrubal vero, cum illo congressus, et humaniter exceptus, in extera loca proficisci statuit. (*Suidas in* Φιλανθρωπ.)

* *

Ol. 158. 2. A. U. 608. Carthaginis ruinam deflet Scipio.

Ὁ δὲ Σκιπίων, Καρχηδόνα ὁρῶν τότε ἄρδην τελευ- 3
τῶσαν ἐς πανολεθρίαν ἐσχάτην, λέγεται μὲν δακρῦσαι, καὶ φανερὸς γενέσθαι κλαίων ὑπὲρ πολεμίων. Ἐπὶ 4
πολὺ δ' ἔννους ἐφ' ἑαυτοῦ γενόμενός τε, καὶ συνιδὼν, ὅτι καὶ πόλεις καὶ ἔθνη καὶ ἀρχὰς ἁπάσας δεῖ μεταβαλεῖν, ὥσπερ ἀνθρώπους, δαίμονα, καὶ τοῦτ' ἔπαθε μὲν Ἴλιον, εὐτυχής ποτε πόλις, ἔπαθε δὲ ἡ Ἀσσυρίων καὶ Μήδων καὶ Περσῶν ἐπ' ἐκείνοις ἀρχὴ μεγίστη γενομένη, καὶ ἡ μάλιστα ἔναγχος ἐκλάμψασα ἡ Μακεδόνων, [φῆναι·] εἴτε ἑκὼν, εἴτε προφυγόντος αὐτὸν τοῦδε τοῦ ἔπους·

Ἔσσεται ἦμαρ, ὅταν ποτ' ὀλώλῃ Ἴλιος ἱρὴ, 5
καὶ Πρίαμος, καὶ λαὸς εὐμελίω Πριάμοιο.

Iliad VI. 448 *sq.*

Πολυβίου δ' αὐτὸν ἐρομένου σὺν παῤῥησίᾳ, (καὶ γὰρ ἦν 6
αὐτοῦ καὶ διδάσκαλος·) ὅ τι βούλοιτο ὁ λόγος· φασὶν, οὐ φυλαξάμενον ὀνομάσαι τὴν πατρίδα σαφῶς, ὑπὲρ ἧς ἄρα, ἐς τἀνθρώπεια ἀφορῶν, ἐδεδίει. Καὶ τάδε μὲν 7
Πολύβιος, αὐτὸς [x]ἀκούσας, συγγράφει.

[x] Nescio an cum codice Augustano Appiani scribendum sit *αὐτὸς ἀκοῦσαι συγγράφει, se ipsum audivisse scribit.*

* *

(*Appianus in Punicis Cap.* 132.)

At *Scipio*, Carthaginem funditus tunc deleri exstinguique videns, illacrymasse dicitur, et propalam deflevisse fortunam hostium. Quum vero diu meditabundus secum cogitasset, urbium, populorum, imperiorum omnium, non minus quam singulorum hominum, mutationi obnoxiam esse fortunam; idque et Ilium, fortunatam quondam urbem, et Assyriorum et Medorum et post istos Persarum imperium, amplissimum omnium, et, quod nuper etiam adhuc splenduerat, Macedonicum, esse expertum; sive consulto, sive mentem præcurrente lingua, versus illos Poëtæ pronunciavit:

Jamque dies aderit, quo concidat Ilion ingens,
et Priamus Priamique ruat plebs armipotentis.

Et a *Polybio* pro familiaritate (fuerat enim is præceptor *Scipionis*) interrogatus, quid sibi vellent ea verba; non dubitavit ingenue fateri, *cogitationem incidisse sibi patriæ, cui timeret, vices rerum humanarum considerans.* Hoc quidem ipse POLYBIUS, qui ex ore ejus verba ista audivit, memoriæ prodidit.

ΤΗΣ ΤΕΣΣΑΡΑΚΟΣΤΗΣ

ΤΩΝ ΠΟΛΥΒΙΟΥ ΙΣΤΟΡΙΩΝ

ΤΑ ΣΩΖΟΜΕΝΑ.

I.

BELLUM ACHAICUM.

* * *

Ol. 158. 2. A. U. 608. Pytheas Thebanus, altera fax belli.

1. ΠΥΘΕΑΣ ἦν μὲν ἀδελφὸς Ἀκατίδους τοῦ σταδιέως, υἱὸς δὲ Κλεομένους· κακῶς δὲ βεβιωκὼς, καὶ δοκῶν [a] ἑαυτῷ παρακεχωρῆσθαι τὴν πρώτην ἡλικίαν.
2 Ὁμοίως δὲ καὶ κατὰ τὴν πολιτείαν θρασὺς καὶ πλεονέκτης, [b] καὶ δι' Εὐμένους καὶ Φιλεταίρου σωματοποιησάμενος τὰς προειρημένας αἰτίας.

*

Obit Critolaus prætor Achæorum.

II. Τοῦ Κριτολάου τοῦ στρατηγοῦ τῶν Ἀχαιῶν μετηλλαχότος, καὶ τοῦ νόμου κελεύοντος, ἐπὰν συμβῇ τι περὶ τὸν ἐνεστῶτα στρατηγὸν, τὸν προγεγονότα διαδέχεσθαι τὴν ἀρχὴν, ἕως ἂν ἡ καθήκουσα σύνοδος
3 γένηται τῶν Ἀχαιῶν· ἐπέβαλε τῷ Διαίῳ, χειρίζειν

Diæus prætor,

[a] ἑκάστῳ maluerat Reisk. at non in ἑαυτῷ error latet, sed in sequenti verbo, pro quo si παρακεχρῆσθαι reposueris, omnia recte habebunt. [b] καὶ δι' Εὐμ. καὶ Φιλ. σωματ. κ. τ. λ. Veremur ne nec emendata satis nec integra sint verba: suspicamurque sic scripsisse Polybium σεσωματοποιημένος vel σωματοποιηθεὶς διὰ τὰς προειρημένας αἰτίας, *per Eumenem et Philetærum opibus et auctoritate auctus propter prædictas causas.*

I.

Excerpta Valesiana.

* * *

I. ERAT *Pytheas*, Acatidis stadiodromi frater, Cleomenis filius: qui, quum nequiter vixisset, primam illam ætatem sibi condonatam esse existimabat. Eadem vero audacia et cupiditate in republica gerenda est usus; quæ vitia Eumenis et Philetæri favore et gratia aluit.

*

II. Post obitum *Critolai*, prætoris Achæorum; cum legibus statutum esset, si quid humanitus prætori hujus anni accidisset, ut is, qui superiori anno prætor fuisset, in ejus locum substitueretur, donec legitimi conventus Achæorum dies advenisset; cura et

Ol. 158. 2. καὶ προεστάναι τῶν κοινῶν πραγμάτων. Διόπερ ἐκπέμ- 3
Servos liberat. ψας εἰς τὰ Μέγαρα, καὶ παραγενόμενος εἰς Ἄργος,
ἔγραψε ταῖς πόλεσι πάσαις, τῶν οἰκογενῶν καὶ παρα-
τρόφων τοὺς ἀκμάζοντας ταῖς ἡλικίαις εἰς μυρίους καὶ
δισχιλίους ἐλευθεροῦν, καὶ καθοπλίσαντας πέμπειν εἰς
τὴν Κόρινθον. ἐμέρισε δὲ ταῖς πόλεσι τὴν ἐπιβολὴν τῶν 4
σωμάτων εἰκῆ καὶ ἀνίσως, καθάπερ καὶ περὶ τῶν ἄλλων
ἔπραττεν. οἷς δ᾽ ἂν ἐλλείπῃ τὸ τῶν παρατρόφων πλῆθος, 5
ἀναπληροῦν ἔδει τὴν ἑκάστοις καθήκουσαν μοῖραν ἐκ τῶν
Pecuniam, ἄλλων οἰκετῶν. Θεωρῶν δὲ τὴν ἀπορίαν τὴν ἐν τοῖς 6
κοινοῖς ἰσχυρὰν οὖσαν διὰ τὸν πρὸς Λακεδαιμονίους
γεγονότα πόλεμον, ἐπαγγελίας ποιεῖσθαι συνηνάγκαζε,
καὶ κατ᾽ ἰδίαν εἰσφέρειν τοὺς εὐπόρους, οὐ μόνον τοὺς
ac milites imperat Achæis. ἄνδρας, ἀλλὰ καὶ τὰς γυναῖκας. ἅμα δὲ τούτοις παρ- 7
ήγγειλε, πανδημεὶ τοὺς ἐν ταῖς ἡλικίαις ἀθροίζεσθαι
μετὰ τῶν ὅπλων εἰς τὴν Κόρινθον. ἐξ ὧν συνέβαινε 8
γίγνεσθαι τὰς πόλεις πλήρεις ἀκρισίας, ταραχῆς, δυ-
σθυμίας. Καὶ τοὺς μὲν ἀπολωλότας ἐπῄνουν, τοὺς δ᾽ 9
ἐκπορευομένους ἠλέουν, καὶ [b]προσκατεκλαίοντο πάντες
ὡσανεὶ προορώμενοι τὸ μέλλον· τὴν δὲ τῶν οἰκετῶν 10
[c]ἀνάστασιν καὶ τὸν ἐπισυρμὸν βαρέως ἔφερον, ὡς ἂν
τῶν μὲν ἠλευθερωμένων ἄρτι, τῶν δὲ λοιπῶν πρὸς τὴν
ἐλπίδα ταύτην μεμετεωρισμένων. Ἅμα δὲ τούτοις οἱ 11

[b] *προκατέκλαιον* voluit Reisk. [c] *ἀνάστασιν καὶ ἐπισυρμὸν abductionem* interpretatus est Vales. *ἀνάστασιν elevationem in numerum civium et militum* intellexit Toup. *ἀνάτασιν* maluit Reiskius, *minacem audaciam*.

administratio reipublicæ ad *Diæum* pertinebat. Is igitur cum præsidium militum in oppidum Megara misisset, Argos ingressus, literas ad omnes Græciæ civitates dedit, quibus mandabat, ut *ex vernis atque alumnis florentissimos ætate, ad duodecim hominum millia, manumitterent, armisque instructos Corinthum destinarent.* Hanc tyronum præstationem temere et inæqualiter, qui illius et in aliis rebus mos erat, singulis urbibus indixit. Quibus vero alumnorum numerus deerat, ii ex aliis quibuslibet servis portionem suam implere tenebantur. Sed cum publicam inopiam videret ob bellum, quod cum Lacedæmoniis nuper gestum erat; locupletissimos quosque, cum viros, tum mulieres, collationem pecuniæ polliceri ac præstare singulos coegit. Simul vero edixit, ut *omnes puberes armati Corinthum convenirent.* Proinde per omnes passim civitates justitium ac tumultus et desperatio animorum erat. Cunctique, eos, qui in bello ceciderant, beatos prædicantes, horum, qui proficiscebantur, vicem dolebant; et, quasi eventum animo præsagientes universi, in gemitus effundebantur. Porro motus servorum et neglectum herilis imperii moleste ferebant; cum alios recens manumissos viderent, reliquos vero eadem spe libertatis arrectos atque inflatos. In-

μὲν ἄνδρες εἰσφέρειν ἠναγκάζοντο παρὰ τὴν αὑτῶν προ- A. U. 608.
αίρεσιν ὅ τι τις ἔχειν δόξειεν, αἱ δὲ γυναῖκες, ἀφαι-
ρούμεναι σφῶν αὐτῶν καὶ τῶν ἰδίων τέκνων τὸν κόσμον,
ὥσπερ ἐπίτηδες εἰς αὐτὸν τὸν ὄλεθρον εἰσέφερον.

III. Ἁπάντων δὲ τούτων ἐν ἑνὶ καιρῷ συμβαινόντων, Occaecati Achaei.
ἡ τῶν κατὰ μέρος ἀεὶ προσπιπτόντων κατάπληξις ἀφῃ-
ρεῖτο τῶν ἀνθρώπων τὴν ὑπὲρ τῶν ὅλων ἐπίστασιν καὶ
διάληψιν, δι' ἧς ἔμελλον προνοεῖσθαι, ὅτι πάντες εἰς
πρόδηλον ὄλεθρον ἄγονται μετὰ τέκνων καὶ γυναικῶν.
2 Λοιπὸν, οἷον ὑπὸ χειμάῤῥου τινὸς λάβρου προωθούμενοι
καὶ φερόμενοι μετὰ βίας, ἐπηκολούθουν τῇ τοῦ προε-
3 στῶτος ἀνοίᾳ καὶ παρακοπῇ. Ἠλεῖοι μὲν γὰρ καὶ Elei et Messenii.
Μεσσήνιοι κατὰ χώραν ἔμειναν, προσδοκῶντες τὸν ἀπὸ
τοῦ στόλου κίνδυνον· οὓς οὐδὲν ἂν τῶν παρόντων ὤνησεν,
εἴπερ ἐφάνη τὸ νέφος ἐκεῖνο κατὰ τὴν ἐξ ἀρχῆς πρόθεσιν.
4 Πατρεῖς δὲ καὶ τὸ μετὰ τούτων συντελικὸν βραχεῖ Patrensium clades et desperatio.
χρόνῳ πρότερον ἐπταίκει κατὰ τὴν Φωκίδα, καὶ ἦν τὸ
συμβαῖνον πολλῷ τῶν κατὰ Πελοπόννησον ἐλεεινότερον.
5 Οἱ μὲν γὰρ ἐκ τοῦ ζῆν παραλόγως αὑτοὺς ἐξῆγον, οἱ
δὲ ἔφευγον ἐκ τῶν πόλεων ἀνοδίαις, πρὸς οὐδὲν ὡρισμένον
ποιούμενοι τὴν ἀναχώρησιν, διὰ τὴν ἔκπληξιν τῶν γιγνο-
6 μένων ἐν ταῖς πόλεσι. Καὶ οἱ μὲν ἦγον, ἐκδώσοντες
ἀλλήλους τοῖς πολεμίοις, ὡς ἀλλοτρίους γεγονότας
Ῥωμαίων· οἱ δὲ ἐμήνυον καὶ κατηγόρουν τῶν πέλας,

terim simul viri quidem opes omnes suas conferre inviti adigebantur; matres autem familias demtum sibi ac liberis suis ornatum quasi de industria in pestem ac perniciem suam conferebant.

III. Quæ cum simul omnia fierent; horror eorum, quæ quotidie singulatim accidebant, sensum ac cogitationem de ipsa rerum summa hominibus adimebat: qua quidem cogitatione facile prospicere potuissent, sese omnes cum uxoribus ac liberis in perniciem certissimam præcipites trahi. Itaque quasi torrentis cujusdam impetu abrepti, et violenter impulsi, ductoris dementiam ac vesaniam sequebantur. *Elidenses* quidem ac *Messenii*, domi manentes, classis Romanæ adventum pavidi exspectabant; quibus nulla res tum saluti esse potuisset, si ea procella, quo ab initio tendebat, eo incubuisset. *Patrenses* vero, cum iis qui eadem formula censebantur, paullo antea in *Phocide* cladem erant passi: eratque eorum casus omnium Peloponnesiorum maxime miserabilis: alii enim, desperato consilio, mortem sibi consciscebant; alii, e patria fugientes, temere vagabantur, quo tenderent incerti, metu eorum quæ in civitatibus gerebantur. Hi abibant, sese invicem in manus hostium tradituri, tamquam Romanorum partibus adversatos: illi deferebant accusabantque proximos, cum ejusmodi

Ol. 158. 2. οὐδενὸς ἐπιζητοῦντος κατὰ τὸ παρὸν τὴν τοιαύτην χρείαν·
οἱ δὲ μεθ' ἱκετηρίας ἀπήντων, ὁμολογοῦντες παρεσπον-
δηκέναι, καὶ πυνθανόμενοι τί δεῖ πάσχειν, μηδέπω
μηδενὸς ἐπιζητοῦντος λόγον ὑπὲρ τούτων. πάντα δ' ἦν 7
πλήρη ἀρχομένης φαρμακείας τῶν ῥιπτούντων ἑαυτοὺς
Græciæ εἰς τὰ φρέατα καὶ κατὰ κρημνῶν· ὥστε κατὰ τὴν
summa perturbatio. παροιμίαν κἂν ἐχθρὸν ἐλεῆσαι, θεασάμενον τὴν τότε
περιπέτειαν τῆς Ἑλλάδος. Τὸν μὲν γὰρ προτοῦ χρόνον 8
ἐσφάλλοντο, καὶ τοῖς ὅλοις ἔπταιον ἐνίοτε, ποτὲ μὲν
[d]ὑπὸ πραγμάτων διαφερόμενοι, ποτὲ δὲ παρασπονδού-
μενοι διὰ τῶν μονάρχων· κατὰ δὲ τοὺς νῦν λεγομένους 9
καιροὺς ἠτύχησαν ἀτυχίαν ὁμολογουμένην, διὰ τὴν τῶν
Thebani ex urbe profugiunt. προεστώτων ἀβουλίαν καὶ διὰ τὴν ἰδίαν ἄνοιαν. Οἱ δὲ 10
Θηβαῖοι ἐκλιπόντες πανδημεὶ τὴν πόλιν ἔρημον τελέως
Pytheas. κατέλιπον· ἐν οἷς καὶ Πυθέας, εἰς Πελοπόννησον ἀποχω-
ρήσας μετὰ γυναικὸς καὶ τῶν τέκνων, ἠλᾶτο κατὰ τῆς
χώρας.

*

Metellus offert conditiones pacis. IV. Τοῦ Διαίου παρόντος εἰς τὴν Κόρινθον, [e]καθε-
σταμένου στρατηγοῦ διὰ τῶν πολλῶν, ἧκον οἱ περὶ τὸν
Ἀνδρωνίδαν παρὰ τοῦ Καικιλίου. Καθ' ὧν προδιαδοὺς 2
τὴν φήμην, ὡς συμφρονούντων τοῖς ἐχθροῖς, παρέβαλε
τοὺς ἀνθρώπους τοῖς ὄχλοις, ὥστε μετὰ πάσης ὕβρεως
συλληφθέντας ἀναχθῆναι δεδεμένους. Ἧκε δὲ καὶ 3

[d] ὑπὲρ utique aut περὶ videtur scribendum. [e] Forsan καὶ καθεστ.

operam nemo tum ab eis requireret: alii, velamenta supplicum prætendentes, fœdus abs se violatum esse ultro fatebantur, et, quænam pœna sese maneret, ipsi interrogabant; cum nemo esset, qui rationem horum adhuc postularet. Jamque hominibus quasi malo carmine incantatis, plena cœperunt esse omnia eorum, qui se in puteos ac per scopulos præcipitabant; prorsus ut hostis etiam, quod proverbio dicitur, casum qui tunc fuit Græciæ miseraturus fuisset. Nam superiori quidem memoria Græci clades subinde erant experti, nonnumquam etiam funditus collapsi erant, sive ob mutuas inter se de republica dissensiones, sive regum perfidia decepti. Sed his temporibus, de quibus nunc loquimur, ex ducum temeritate, suaque ipsorum amentia, maximis calamitatibus conflictati sunt. *Thebani* etiam, e patria vulgo omnes profugientes, prorsus vacuam reliquerunt urbem. Inter quos et *Pytheas*, cum uxore et liberis in Peloponnesum transgressus, hac illac palabundus per regionem errabat.

*

IV. Cum *Diæus*, prætor a plebe constitutus, Corinthi adesset; *Andronidas* cum amicorum nonnullis a Q. *Cæcilio Metello* advenit. Sed *Diæus* ante eorum adventum cum famam præseminasset, hostibus illos favere, multitudini cunctos tradidit. Itaque

Φίλων, ὁ Θετταλὸς, πολλὰ φιλάνθρωπα τοῖς Ἀχαιοῖς A. U. 608.
4 προτείνων. Ὧν ἀκούοντες συνέπραξάν τινες τῶν ἐκ τῆς
χώρας· ἐν οἷς ἦν καὶ Στράτιος, ἤδη γηραιὸς ὢν, ὃς
ἐμπλεκόμενος καὶ λιπαρῶν ἐδεῖτο τοῦ Διαίου, πεισθῆναι
5 τοῖς ὑπὸ τοῦ Καικιλίου προτεινομένοις. Οἱ δὲ, συνε- Pacem
δρεύσαντες, τοῖς μὲν ὑπὸ τοῦ Φίλωνος λεγομένοις οὐ respuit Diæus.
6 προσεῖχον. οὐκ ἐνόμισαν γὰρ κοινὴν εἶναι τὴν σωτηρίαν,
[f]ἀλλὰ διὰ τὸ σφέτερον συμφέρον καὶ τὴν αὐτῶν ἀσφά-
λειαν ἐν πλείστῳ τιθεμένων ταῦτα λέγειν. πρὸς τοῦτον
τὸν σκοπὸν ἐβουλεύσαντο περὶ τῶν ἐνεστώτων· εἰ καὶ
7 πάντων ἅμα διήμαρτον. σαφῶς γὰρ σφίσι τὰ πεπρα-
γμένα συνειδότες οὐδαμῶς ἐδύναντο πιστεῦσαι, διότι
8 τύχοιεν ἂν τινος ἐλέου παρὰ Ῥωμαίων. Τὸ δ' ὑπὲρ τῶν
πραγμάτων καὶ τῆς τῶν πολλῶν σωτηρίας παθεῖν ὅ τι
δέοι γενναίως, οὐδ' ἐν νῷ καθάπαξ ἐλάμβανον· ὅπερ ἦν
ἀνδρῶν φιλοδόξων καὶ προστατεῖν φασκόντων τῆς Ἑλλά-
9 δος. [g]Ἀλλὰ γὰρ πῶς ἔμελλε καὶ πόθεν παραστή-
σεσθαι τοῦτο τὸ φρόνημα τοῖς προειρημένοις; Ἦσαν Diæi
γὰρ οἱ [h]βουλευόμενοι Δίαιος καὶ Δαμόκριτος, ἄρτι sodales.

[f] Mutila et turbata oratio; in qua nihil, nec in Græcis, nec in Latinis Valesii, ausus sum mutare. διὰ post ἀλλὰ *deletum* maluit Reisk. Tum τιθεμένους legit pro τιθεμένων, et mox καὶ πρὸς τοῦτον. Pro εἰ καὶ Valesius ἢ καὶ suasit. Equidem suspicatus eram ἀλλὰ διὰ τὸ σφέτ. συμφ., καὶ τὴν αὐτῶν ἀσφ. ἐν πλ. τιθέμενοι, [πάντα ἐποίουν, καὶ] πρὸς τοῦτον &c. *Sed suam utilitatem suamque salutem præcipuo loco ponentes, eo unice consilia sua dirigebant; quamquam ea ratione omnia simul erant perdituri.* [g] Ἀλλὰ γὰρ correxi, monente etiam Reiskio. Corrupte vulgo ἅμα γάρ. [h] βουλευόμενοι debetur Valesio. βουλόμενοι erat in MSto.

comprehensi vinctique cum omni contumelia perducti sunt. *Philo* etiam Thessalus tum advenit, benignas Achæis conditiones ferens. Quibus auditis nonnulli adsensum præbebant, inter quos et *Stratius* erat jam affecta ætate, qui Diæum amplexus supplex orabat, ut pacis conditiones a Cæcilio oblatas acciperet. Sed *Diæus* et qui cum eo sentiebant, re deliberata, nihil Philonis sermonibus commovebantur: quippe qui existimarent, haudquaquam communem omnium salutem spectari, sed utilitatis atque incolumitatis propriæ caussa hæc ab iis proponi. Hujusmodi opinione præventi, consilium de summa republica inierunt, quo fit, ut omni parte aberraverint. Conscii enim sibi ipsi facinorum suorum, numquam in animum inducere poterant, fore ut Romani veniam ipsis indulgerent. Fortiter vero pro republica omnes casus tolerare, nullumque periculum pro communi salute detrectare, ut viros decebat gloriæ cupidos, qui se principes ac moderatores Græciæ ferebant, id vero ne in mentem quidem ipsis veniebat. Sed enim, quonam tandem pacto, aut unde ejusmodi magnitudo animi antedictis hominibus accidere potuisset? Erant enim, qui principes tum in concilio sedebant, *Diæus* atque *Democritus*, nuper ab exsilio revocati ob pub-

Ol. 158. 2.

τῆς καθόδου τετευχότες, διὰ τὴν ἐνεστῶσαν ἀκρισίαν, σὺν δὲ τούτοις Ἀλκαμένης, Θεοδέκτης, Ἀρχικράτης. ὑπὲρ ὧν, τίνες ἦσαν, καὶ τίνα φύσιν ἕκαστος εἶχε, καὶ τίνα προαίρεσιν καὶ βίον, εἴρηται διὰ πλειόνων.

Negant Sosicratem proprætorem.

V. Ὅθεν ἐν τοιούτοις ὄντος τοῦ διαβουλίου, καὶ τὸ
τέλος ἀκόλουθον ἐξέβη τῶν δοξάντων. Παραυτίκα μὲν 2
οὖν συνέκλεισαν οὐ μόνον τοὺς περὶ τὸν Ἀνδρωνίδαν καὶ
Λάγιον, ἀλλὰ καὶ τὸν ὑποστράτηγον Σωσικράτη, ἐπεν-
έγκαντες αἰτίαν, ὅτι προστατήσαι τοῦ διαβουλίου, καὶ
συναποφῆναι τὸ πέμπειν πρὸς τὸν Καικίλιον, καὶ συλ-
λήβδην πάντων εἴη τῶν κακῶν αἴτιος. Ἐς δὲ τὴν 3
ἐπαύριον καθίσαντες δικαστὰς, τοῦ μὲν Σωσικράτους
κατεδίκασαν θάνατον, καὶ δήσαντες καὶ στρεβλοῦντες
προσεκαρτέρουν, ἕως διέφθειραν τὸν ἄνθρωπον, οὐδὲν

Andromidas pretio se redimit.

εἰπόντα τῶν ἐκείνοις προσδοκωμένων. τὸν δὲ Λάγιον, 4
καὶ τὸν Ἀνδρωνίδαν, καὶ τὸν Ἄρχιππον ἀφῆκαν· ἅμα
μὲν τοῦ πλήθους εἰς ἐπίστασιν παραγενομένου [1] ὑπὲρ τῆς
εἰς τὸν Σωσικράτη παρανομίας, ἅμα δὲ τοῦ Διαίου
λαβόντος παρὰ μὲν Ἀνδρωνίδου τάλαντον, παρὰ δὲ
Ἀρχίππου μʹ μνᾶς. οὐδὲ γὰρ ἐπὶ τοῦ σκάμματος ὢν, 5
τὸ δὴ λεγόμενον, ἐδύνατο λῆξαι τῆς περὶ τοῦτο τὸ μέρος

In Philinum sævit Diæus.

ἀναισχυντίας καὶ παρανομίας ὁ προειρημένος. Παρα- 6
πλήσια δὲ τούτοις ἔπραξε καὶ βραχεῖ χρόνῳ πρότερον
εἰς Φιλῖνον τὸν Κορίνθιον. προθεὶς γὰρ αἰτίαν, ὅτι

[1] Ante verba ὑπὲρ τῆς vulgo inseruntur hæc διὰ τὴν, quæ delevi. Ex δι' αὐτοῦ corrupta suspicatus est Reisk.

licam temporum perturbationem; cumque his *Alcamenes*, *Theodectes* et *Archicrates*: quorum hominum quæ indoles ac natura fuerit, quæque instituta vitæ ratio, pluribus supra commemoravi.

v. Igitur cum ex hujuscemodi hominibus concilium constaret, consentanea quoque decreta prodierunt. Namque illico *Andronidam* et *Lagium* in carcerem compegere, simulque *Sosicratem*, prætoris vicarium, crimini dantes, quod cum concilio præsideret, et mittendæ ad Cæcilium legationis et omnium omnino malorum auctor fuisset. Postridie constitutis judicibus, *Sosicratem* quidem capitali sententia damnarunt, vinctumque omni tormentorum genere ad necem usque cruciarunt: qui quidem pro spe atque exspectatione eorum nihil dixit. *Lagium* vero et *Andronidam* et *Archippum* dimisere; partim quia plebs ob sævitiam in Sosicratem exercitam, non mediocriter commota erat; partim quia Diæus talentum ab Andronida, ab Archippo quadraginta minas acceperat. Nam nec in ipso, ut aiunt, stadio positus, ab hujusmodi impudentia ac scelere abstinere poterat. Idem paullo antea præstiterat in caussa *Philini* Corinthii. Criminatus enim,

διαπέμπεται πρὸς [k] Μεναλκίδαν, καὶ τὰ Ῥωμαίων A. C. 608.
φρονεῖ, τόν τε Φίλινον καὶ τοὺς υἱοὺς αὐτοῦ μαστιγῶν καὶ στρεβλῶν ἐν συνόψει πάντας ἀλλήλων, οὐ πρότερον ἔληξε, πρὶν ἢ διέφθειρε τὰ μειράκια καὶ τὸν Φίλινον.
7 Τοιαύτης δὲ τῆς ἀνοίας καὶ τῆς ἀκρισίας συμβαινούσης περὶ πάντας, οἵαν οὐδ' ἂν ἐν βαρβάροις εὕροι τις ῥᾳδίως, δῆλον, ὡς εἰκότως ἄν τις ἐπιζητήσειε, πῶς οὐκ ἄρδην
8 ἀπώλοντο πάντες. Ἐγὼ γὰρ ἂν εἴποιμι, [l] διότι δοκεῖ μοι καθάπερ ἂν εἰ τύχη τις [m] ἀντερεῖσαι πανοῦργος καὶ τεχνικὴ πρὸς τὴν ἄνοιαν καὶ μανίαν τῶν ἡγουμένων, ἣ τις ἐξωθουμένη πάντη καὶ πάντως ὑπὸ τῆς ἀνοίας τῶν προεστώτων, βουλομένη δὲ κατὰ πάντα τρόπον σώζειν τοὺς Ἀχαιοὺς, ἐπὶ τὸ καταλειπόμενον ἦλθεν, ὥσπερ
9 ἀγαθὸς παλαιστής. τοῦτο δ' ἦν, τὸ ταχέως σφῆλαι [n] καὶ ῥᾳδίως ἡττῆσαι τοὺς Ἕλληνας· ὅπερ ἐποίησε.
10 Διὰ γὰρ τοῦτο συνέβη, μήτε τὴν Ῥωμαίων ὀργὴν καὶ θυμὸν ἐκκαυθῆναι πορρωτέρω, μηδ' ἐλθεῖν τὰς ἐκ τῆς Λιβύης δυνάμεις, μήτε τοὺς προεστῶτας, ὄντας μὲν οἵους εἶπον, ἐπιλαβομένους δὲ προτερήματος, ἀποδείξασθαι τὴν αὐτῶν ἀσέβειαν εἰς τοὺς ὁμοφύλους.
11 Τί γὰρ εἰκὸς ἦν πρᾶξαι τούτους κατὰ τῶν ἰδίων, ἐπιλαβομένους ἀφορμῆς τινος ἢ προτερήματος, δῆλόν

Perierant Achæi, ni cito periissent.

[k] Μεναλκίδαν correxi cum Reisk. Vulgo ex MSto μὲν Χαλκίδα. [l] διότι ex conject. scripsi. Vulgo διό. [m] ἀντερεῖσαι correxit Vales. ἀντερίσαι erat in MSto, quod defendit Reisk. [n] Copulam ex ing. adjecit Vales. Quam cum ignoret codex, verba ῥᾳδίως ἡττῆσαι ex scholio orta suspicari licet cum Reisk.

quod ad *Menalcidem* clam nuncios mitteret, et Romanis faveret, ipsum cum adolescentibus filiis alterum in alterius conspectu tormentis ac virgis ad mortem cecidit. Cum igitur ea fuerit omnium amentia et ejusmodi stoliditas, cujusmodi ne apud barbaros quidem facile possit reperiri; jure merito aliquis quæsierit, qui factum sit, ut non funditus omnes perierint. Equidem sic existimo, fortunam quamdam ingeniosam et callidam restitisse ductorum dementiæ ac furori: quæ fortuna, quum a stoliditate istorum hominum propelleretur, et tamen gentem Achæorum omnino servare vellet, ad id, quod reliquum erat, quemadmodum boni luctatores facere solent, se convertit; videlicet, ut *celeriter* Græci *prosternerentur*, ac nullo negotio vincerentur: quod quidem ab illa est præstitum. Namque eo factum est, ut neque ira ac furor Romanorum ulterius exardesceret; neque legiones ex Africa transportarentur; neque ipsi Achæorum principes, iis moribus præditi, quos supra memoravi, prosperæ alicujus pugnæ successu elati, insigne aliquod specimen impietatis suæ in populares suos ederent. Quid enim in suos hi facturi erant, si quam opportunitatem secundumque eventum nacti fuissent, clarum et consequens est ex iis, quæ an-

Ol. 158. 2. ἐστιν ἐκ τῶν προειρημένων διὰ τὸ κατὰ λόγον. Ἅπαν- 12
τες δὲ τότε τὴν παροιμίαν ταύτην διὰ στόματος εἶχον, ὡς, Εἰ μὴ ταχέως ἀπωλόμεθα, οὐκ ἂν ἐσώθημεν.

* * *

Aulus Postumius Albinus, Græcar. literar. ridicule studiosus.

VI. Αὖλος Ποστούμιος ἄξιος γέγονεν ἐπισημασίας ἀπ' ἐντεῦθεν. Οἰκίας μὲν γὰρ ἦν καὶ γένους πρώτου, 2
κατὰ δὲ τὴν ἰδίαν φύσιν στωμύλος καὶ λάλος, καὶ πέρπερος διαφερόντως. Ἐπιθυμήσας δὲ εὐθέως ἐκ παίδων 3
τῆς Ἑλληνικῆς ἀγωγῆς καὶ διαλέκτου, πολὺς μὲν ἦν ἐν τούτοις καὶ κατακορής· ὥστε δι' ἐκεῖνον καὶ τὴν αἵρεσιν τὴν Ἑλληνικὴν προσκόψαι τοῖς πρεσβυτέροις καὶ τοῖς ἀξιολογωτάτοις τῶν Ῥωμαίων. Τέλος δὲ καὶ 4
ποίημα γράφειν καὶ πραγματικὴν ἱστορίαν ἐνεχείρησεν, ἐν ᾗ διὰ τοῦ προοιμίου παρεκάλει τοὺς ἐντυγχάνοντας, συγγνώμην ἔχειν, ἐάν, Ῥωμαῖος ὤν, μὴ δύναται κατακρατεῖν τῆς Ἑλληνικῆς διαλέκτου, καὶ τῆς κατὰ τὸν

Catonis de eo judicium.

χειρισμὸν οἰκονομίας. Πρὸς ὃν οἰκείως ἀπηντηκέναι 5
δοκεῖ Μάρκος Πόρκιος Κάτων· θαυμάζειν γὰρ ἔφη, πρὸς τίνα λόγον ποιεῖται τοιαύτην παραίτησιν. εἰ μὲν 6
γὰρ αὐτῷ τὸ τῶν Ἀμφικτυόνων συνέδριον συνέταττε γράφειν ἱστορίαν, ἴσως ἔδει °προφέρεσθαι ταῦτα καὶ παραιτεῖσθαι. μηδεμιᾶς δ' ἀνάγκης οὔσης, ἐθελοντὴν 7
ἀπογράψασθαι, κἄπειτα παραιτεῖσθαι, συγγνώμην ἔχειν, ἐὰν βαρβαρίζῃ, τῆς ἀπάσης ἀτοπίας εἶναι ση-

° προφέρεσθαι correxi. Vulgo προσφέρεσθαι.

tea retuli. Tunc vero illud vetus dictum in omnium ore versabatur: *Nisi celeriter periissemus, numquam salvi fuissemus.*

* * *

VI. Hoc loco non sine notatione nobis prætereundus AULUS POSTUMIUS est. Erat hic e clarissima familia oriundus, sed ingenio garrulus fuit et loquacior, ac singulari levitate præditus. Qui, cum statim a puero Græcanicam linguam ac disciplinam adamavisset, nimius in his et ad nauseam usque putidus fuit, adeo ut ipsius caussa apud viros ætate et auctoritate eminentissimos populi Romani Græcanica institutio male audiret. Denique et *poëma* et *Historiam rerum gestarum* scribere est adgressus, in cujus prooemio *veniam a lectoribus sibi concedi* postulat, *si forte civis Romanus Græcæ dictionis elegantiam, et in ipsa rerum tractatione congruam dispositionem, plane adsequi non potuerit.* Cui facete respondisse fertur *M. Porcius Cato:* qui, *mirari se, quid spectans ille veniam ejusmodi flagitaret. Etenim si concilium Amphictyonum id illi mandasset, ut Historiam conscriberet; fortasse hujusmodi deprecatione opus fuisset. Cum vero nulla necessitate impulsus ultro Scriptorem te sis professus, veniam postea petere, si forte barbare sis locutus, extremæ imprudentiæ est,*

8 μεῖον· καὶ [p]παραπλήσιον, [q]ὡς ἂν εἴ τις, εἰς τοὺς γυμνικοὺς ἀγῶνας ἀπογραψάμενος πυγμὴν ἢ παγκράτιον, παρελθὼν εἰς τὸ στάδιον, ὅτε δέοι μάχεσθαι, παραιτοῖτο τοὺς θεωμένους, συγγνώμην ἔχειν, ἐὰν μὴ δύνηται μήτε
9 τὸν πόνον ὑπομένειν, μήτε τὰς πληγάς. Δῆλον γὰρ, ὡς εἰκὸς γέλωτα τὸν τοιοῦτον ὀφλεῖν, καὶ τὴν δίκην ἐκ χειρὸς λαμβάνειν. ὅπερ ἔδει καὶ τοὺς τοιούτους ἱστοριογράφους, ἵνα μὴ κατετόλμων τοῦ καλῶς ἔχοντος.
10 Παραπλησίως δὲ καὶ κατὰ τὸν λοιπὸν βίον ἐζηλώκει τὰ χείριστα τῶν Ἑλληνικῶν. καὶ γὰρ φιλήδονος ἦν καὶ
11 φυγόπονος. Τοῦτο δ' ἔσται δῆλον ἐξ αὐτῶν τῶν ἐνεστώτων. ὃς πρῶτος παρὼν ἐν τοῖς κατὰ τὴν Ἑλλάδα τόποις, καθ' ὃν καιρὸν συνέβαινε γίγνεσθαι τὴν ἐν Φωκίδι μάχην, σκηψάμενος ἀσθένειαν εἰς Θήβας ἀνεχώ-
12 ρησε, χάριν τοῦ μὴ μετασχεῖν τοῦ κινδύνου· συντελεσθείσης δὲ τῆς μάχης, πρῶτος ἔγραψε τῇ συγκλήτῳ περὶ τοῦ κατορθώματος, προδιασαφῶν τὰ κατὰ μέρος, ὡς μετεσχηκὼς αὐτὸς τῶν ἀγώνων.

A. U. 608.

Reliqua Albini vanitas.

* * *

VII. Πολύβιος δὲ τὰ συμβάντα περὶ τὴν ἅλωσιν (τῆς Κορίνθου) ἐν οἴκτου μέρει λέγων, προστίθησι καὶ τὴν στρατιωτικὴν ὀλιγωρίαν, τὴν περὶ τὰ τῶν τεχνῶν ἔργα
2 καὶ τὰ ἀναθήματα. Φησὶ γὰρ ἰδεῖν παρὼν ἐῤῥιμμένους

Contemtus artium in eversione Corinthi.

[p] Post παραπλήσιον in cod. inserta erant verba ὡς ἄχρηστον. An voluit παραπλησίως ἄχρηστον? [q] ὥσπερ ἂν εἰ Suidas in Παραιτοῖτο.

et perinde, ac si quis, inter pugiles aut pancratio certaturos nomen suum in gymnicis ludis professus, postmodum stadium ingressus, ubi pugnandum esset, a spectatoribus peteret, veniam ut sibi darent, si laborem et plagas ferre non posset. Quare, ut hujusmodi vir manifesto risum simul præsentesque pœnas debiturus est; ita etiam tales historiæ scriptores explodi oportebat, ne quid supra vires adgredi auderent. Ceterum idem *Postumius* in reliqua omni vitæ ratione pessima quæque Græcorum studia æmulatus fuerat. Nam et voluptatibus deditus erat, et impatiens laboris, ut ex iis rebus, quas præ manibus habemus, liquido adparet. Qui cum primus in Græciam pervenisset, quo tempore in Phocide pugnatum est, valetudinem causatus Thebas recessit, ne discrimini interesset. Terminato autem prælio, primus ad senatum de re feliciter gesta literas scripsit, singula quæque narrans, quasi ipse pugnæ interfuisset.

* * *

VII. *Polybius*, quæ in *excidio Corinthi* evenerunt, narrando deplorans, *militarem contemtum artificiorum ac donariorum* inter alia commemorat. Ait enim, *se præsentem vidisse tabulas humum projectas, ac milites super iis*

Ol. 158. 2. πίνακας ἐπ' ἐδάφους, πεττεύοντας δὲ τοὺς στρατιώτας
ἐπὶ τούτων. ὀνομάζει δ' αὐτοὺς, Ἀριστείδου γραφὴν 3
τοῦ Διονύσου, ἐφ' οὗ τινες εἰρῆσθαί φασι τὸ Οὐδὲν πρὸς
τὸν Διόνυσον· καὶ τὸν Ἡρακλέα τὸν καταπονούμενον τῷ
τῆς Δηιανείρας χιτῶνι.

* * *

Philopœmenis honores

VIII. Οὐσῶν δὲ πολλῶν μὲν εἰκόνων τοῦ Φιλοποί-
μενος, μεγάλων δὲ τιμῶν, ἃς αἱ πόλεις ἐψηφίσαντο·
Ῥωμαῖος ἀνὴρ, ἐν τοῖς περὶ Κόρινθον ἀτυχήμασι τῆς 2
Ἑλλάδος, ἐπεχείρησεν ἀνελεῖν ἁπάσας, καὶ διώκειν
αὐτόν· ἐνδεικνύμενος, ὥσπερ ἔτι ζῶντα, Ῥωμαίοις πολέ-
μιον καὶ κακόνουν γενέσθαι. Λόγων δὲ λεχθέντων, καὶ
Πολυβίου πρὸς τὸν συκοφάντην ἀντειπόντος, οὔθ' ὁ Μόμ- 3
μιος οὔτε οἱ πρέσβεις ὑπέμειναν ἀνδρὸς ἐνδόξου τιμὰς
ἀφανίσαι.

*

defendit Polybius.

Ἐπεβάλετο (γὰρ ὁ Πολύβιος) διδάσκειν διὰ πλειόνων 4
ἀκολούθως τοῖς ἐν ἀρχαῖς ἡμῖν εἰρημένοις περὶ τἀνδρός.
Ταῦτα δ' ἦν, ὅτι διαφέροιτο μὲν πρὸς Ῥωμαίους πολ- 5
λάκις ὑπὲρ τῶν ἐπιταττομένων, διαφέροιτο δὲ ἐπὶ τοσοῦ-
τον, ἐφ' ὅσον διδάσκειν καὶ πείθειν ὑπὲρ τῶν ἀμφισβη-
τουμένων· οὐδὲ τοῦτο ποιεῖν [r] εἰκῇ. [s] πεῖραν δὲ τῆς 6
προαιρέσεως αὐτὸν ἀληθινὴν, ἔφη, καὶ, τὸ δὴ λεγόμενον,

[r] εἰκῇ ex Valesii conject. scripsi pro vulgato εἰκὸς. [s] Quum vulgo esset πεῖραν δὲ τοῦτο ποιεῖν τῆς προαιρέσεως, duo verba delevi monente eodem Valesio.

talis ludentes: nominatque eas, *Bacchum ab Aristida pictum,* (in quem nonnulli dictum illud putant, *Nihil ad Bacchum,*) et *Herculem Deianiræ tunica excruciatum.* (*Strabo Geograph. Lib.* VIII. *p.* 381.)

* * *

VIII. Multæ erant *Philopœmenis statuæ,* magnique ei a civitatibus decreti honores. Quæ cuncta Romanus quidam eo tempore, quo *capta Corintho* in calamitate fuit Græcia, abrogare et evertere est conatus; perinde atque vivum etiamtum accusans atque denuncians, *quod hostis et infensus fuisset Romanis.* Qua de re cum essent sermones habiti, et contra calumniatorem istum *Polybius* verba fecisset; neque *Mummius* neque legati passi sunt deleri inclyti viri gloriam. (*Plutarchus in Philopœmene.*)

*

(*Excerptum Valesianum ex Polybio.*)

Scilicet *Polybius* contra docere ac demonstrare pluribus cœpit, *Philopœmenem,* quod et superioribus libris ostendimus, *ejusmodi fuisse, qui mandatis populi Romani interdum quidem adversaretur, sed hactenus tantum, ut in rebus controversis proponeret suaderetque ea, quæ sibi videbantur; neque id umquam temere fecisse. Specimen vero illustre animi illius, et sinceræ erga populum Romanum benevolentiæ*

ἐκ πυρὸς παρεσχῆσθαι χάριν, κατὰ τοὺς Φιλιππικοὺς A. U. 608.
7 καὶ κατὰ τοὺς Ἀντιοχικοὺς καιρούς. Πλείστην γὰρ
ἔχοντα ῥοπὴν τότε τῶν Ἑλλήνων, καὶ διὰ τὴν αὑτοῦ
δύναμιν καὶ τὴν τῶν Ἀχαιῶν, ἀληθινώτατα διατετη-
8 ρηκέναι τὴν πρὸς Ῥωμαίους φιλίαν· [t]μετασχόντα τοῦ
δόγματος τοῖς Ἀχαιοῖς, ἐν ᾧ [u]γεγραμμένῳ πρότερον
τῆς Ῥωμαίων διαβάσεως Ἀντιόχῳ καὶ τοῖς Αἰτωλοῖς
τὸν ἀπὸ τῆς χώρας πόλεμον ἐξήνεγκαν, τῶν ἄλλων
Ἑλλήνων σχεδὸν ἁπάντων ἀπηλλοτριωμένων τῆς Ῥω-
9 μαίων φιλίας. Ὧν οἱ δέκα διακούσαντες, καὶ τὴν
προαίρεσιν ἀποδεξάμενοι τοῦ λέγοντος, συνεχώρησαν
καταμόνους αὐτῷ τὰς τιμὰς ὑπάρχειν ἐν πάσαις ταῖς
10 πόλεσι. Λαβόμενος δὲ τῆς ἀφορμῆς ταύτης Πολύβιος,
[x]εἰκόνας ᾐτήσατο τὸν στρατηγὸν, καίπερ ἤδη μετακεκο-
μισμένας εἰς Ἀκαρνανίαν ἐκ Πελοποννήσου, λέγω δὲ
11 τὴν Ἀχαιοῦ, καὶ τὴν Ἀράτου [y]καὶ Φιλοποίμενος. Ἐν Statua marmorea Polybii.
οἷς ἀγασθὲν τὸ πλῆθος αὐτοῦ τὴν προαίρεσιν, ἔστησεν
αὐτοῦ λιθίνην εἰκόνα.

* *

IX. Μετὰ τὴν κατάστασιν τῶν δέκα, ἣν ἐποιήσαντο Diæi bona sub hasta venduntur.
ἐν τῇ Ἀχαΐᾳ, οὗτοι οἱ δέκα τῷ ταμίᾳ, τῷ μέλλοντι
πωλεῖν τὴν οὐσίαν τοῦ Διαίου, συνέταξαν, ὅ τι πότ' ἂν
ἐκλέξασθαι βουληθῇ τῶν ὑπαρχόντων ὁ Πολύβιος, ὑφε-

[t] Vulgo μετασχόντα δὲ. Delevi particulam: nisi δὴ malis. [u] γεγραμμένῳ correxi cum Reisk. Vulgo τετραμμένῳ. τετραμήνῳ suspicatus erat Vales. [x] τὰς εἰκόνας scribere jussit Reisk. [y] καὶ τὴν Φιλ. voluit Reisk. καὶ τὰς malim.

testimonium] exstitisse bello Philippico et Antiochico. Nam cum illis temporibus unus omnium Græcorum maxima auctoritate polleret, cum ob suam, tum ob gentis Achæorum potentiam; constanter eum in amicitia ac fide erga populum Romanum permansisse: auctorem etiam et adprobatorem fuisse decreti illius, quo Achæi, nondum transgressis in Græciam Romanis, bellum Antiocho atque Ætolis indixerunt, cum ceteri fere Græci omnes a partibus et a caussa populi Romani alienati essent. Quibus auditis, decem legati, studium ut consilium Polybii comprobantes, *Philopœmenis* memoriam servarunt, ejusque honores omnes in civitatibus illibatos passi sunt manere. Hac *Polybius* occasione arrepta, *imagines Achæi Aratique* et *Philopœmenis*, quæ jam ex Peloponneso transportatæ in Acarnaniam erant, a proconsule petiit: cujus rei caussa Achæi, virtutem ipsius laudantes, statuam ei e marmore posuerunt.

* *

IX. Rebus in Achaia probe constitutis, *decem Legati* quæstori, qui auctionem bonorum *Diæi* facturus erat, in mandatis dederunt, ut, quidquid

Ol. 158. 2. λόντα καὶ δόντα [z]δωρεὰν, τἄλλα πωλεῖν τοῖς ὠνουμέ-
Polybii abstinentia. νοις. Ὁ δὲ προειρημένος τοσοῦτον ἀπέσχε τοῦ προσ- 2
δέξασθαί τι τῶν τοιούτων, ὡς καὶ τοὺς φίλους παρεκά-
λεσε, καθόλου μηθενὸς ἐπιθυμῆσαι τῶν ὑπὸ τοῦ ταμίου
πωλουμένων. συνέβαινε γὰρ, τοῦτον, ἐπιπορευόμενον τὰς 3
πόλεις, πάντων τῶν τῷ Διαίῳ κοινωνησάντων πωλεῖν
τὰς οὐσίας, τῶν καὶ κατακριθέντων, ὅσοι μὴ παῖδας ἢ
γονέας εἶχον. ὧν τινες μὲν οὐ προσέσχον, οἱ δὲ κατα- 4
κολουθήσαντες τῇ συμβουλίᾳ, καλλίστην δόξαν ἐξενέγ-
καντο παρὰ τοῖς πολίταις.

Ol. 158. 3. A. U. 609. Polybii in Achæos merita. X. Ταῦτα δὲ διοικήσαντες ἐν ἓξ μησὶν οἱ δέκα, καὶ
τῆς ἐαρινῆς ὥρας ἐνισταμένης, ἀπέπλευσαν εἰς τὴν Ἰτα-
λίαν· καλὸν δεῖγμα τῆς Ῥωμαίων προαιρέσεως ἀπολελοι-
πότες πᾶσι τοῖς Ἕλλησιν. Ἐνετείλαντο δὲ τῷ Πολυβίῳ 2
χωριζόμενοι, τὰς πόλεις ἐπιπορευθῆναι, [a]καὶ περὶ ὧν οἱ
ἄνθρωποι ἀμφιβάλλουσι διευκρινῆσαι, [b]μέχρι οὗ συνή-
θειαν ἔχωσι τῇ πολιτείᾳ καὶ τοῖς νόμοις. ὃ δὴ καὶ μετά 3
τινα χρόνον ἐποίησε, πρὸς τὸ τοὺς ἀνθρώπους στέρξαι τὴν
δεδομένην πολιτείαν, καὶ μηδὲν ἀπόρημα μήτε κατ'
ἰδίαν, μήτε κατὰ κοινὸν ἐκ τῶν νόμων γενέσθαι περὶ
μηδενός. Διὸ καὶ καθόλου μὲν ἐξαρχῆς ἀποδεχόμενοι 4

[z] δωρεὰν correctum est in edit. Ernest. δωρεὰ dabant superiores; quod et ex ἐν δωρεᾷ corruptum videri poterat. [a] καὶ περὶ ὧν correxi, monente Valesio. Vulgo ex MSto edebatur καίπερ οἱ ἄνθρ. [b] μέχρι οὗ correxi. Vulgo μέχρι τοῦ.

Polybius ex illius bonis optare ac seligere vellet, seposito gratisque donato, cetera licitantibus adjudicaret. Sed Polybius multum abfuit ut quidquam eorum acciperet; quin et amicos hortatus est, nihil ut eorum, quæ a quæstore venundabantur, concupiscerent. Etenim quæstor populi Romani, singulas civitates circumiens, quicumque consiliorum Diæi participes fuerant, quique a decem legatis condemnati erant, eorum omnium, exceptis his, quibus liberi aut parentes superstites essent, facultates hasta posita vendebat. Ceterum consilium Polybii nonnulli insuper habuerunt: quicumque autem ei paruerunt, maximam laudem a popularibus suis retulere.

X. *Decem legati*, his intra semestre spatium ita constitutis, veris initio in Italiam navigarunt, cum pulcerrimum virtutis morumque populi Romani exemplum Græcis omnibus reliquissent. In ipso autem digressu mandaverunt *Polybio*, ut singulas urbes obiret, earumque controversias dijudicaret, donec constitutioni provinciæ, legibusque datis adsuevissent. Quod et *Polybius* aliquanto post præstitit, ita ut Græci præscripto reipublicæ statu adquiescerent, neque vel minima de ulla re difficultas, sive publice, sive privatim, in legibus super-

καὶ τιμῶντες τὸν ἄνδρα, περὶ τοὺς ἐσχάτους καιροὺς καὶ τὰς προειρημένας πράξεις εὐδοκούμενοι κατὰ πάντα τρόπον, ταῖς μεγίσταις τιμαῖς ἐτίμησαν αὐτὸν κατὰ
5 πόλεις, [[c] καὶ ζῶντα, καὶ μεταλλάξαντα.] πάντες δ' ἔκριναν κατὰ λόγον τοῦτο ποιεῖν. μὴ γὰρ ἐξεργασαμένου τούτου καὶ γράψαντος τοὺς περὶ τῆς κοινῆς δικαιοδοσίας νόμους, ἄκριτα πάντα ἦν καὶ πολλῆς
6 γέμοντα ταραχῆς. Διὸ καὶ τοῦτο κάλλιστον Πολυβίῳ πεπρᾶχθαι νομιστέον, πάντων τῶν προειρημένων.

A. U. 608. Polybii in Achæos merita.

*

XI. Ὁ στρατηγὸς τῶν Ῥωμαίων, μετὰ τὸ χωρισθῆναι ἐξ Ἀχαΐας τὸ συνέδριον, ἐπισκευάσας τὸν ἐν Ἰσθμῷ τόπον, καὶ κοσμήσας τὸν ἐν Ὀλυμπίᾳ καὶ Δελφοῖς νεὼν, ταῖς ἑξῆς ἡμέραις ἐπεπορεύετο τὰς πόλεις, τιμώμενος ἐν ἑκάστῃ καὶ τυγχάνων τῆς ἁρμοζούσης χάριτος.
2 Εἰκότως δὲ [d] τιμᾶσθαι συνέβαινεν αὐτὸν, καὶ κοινῇ, καὶ
3 κατ' ἰδίαν. Καὶ γὰρ ἐγκρατῶς καὶ καθαρῶς ἀνεστράφη, καὶ πρᾴως ἐχρήσατο τοῖς ὅλοις πράγμασι, μέγαν καιρὸν ἐν τοῖς Ἕλλησιν ἔχων καὶ μεγάλην
4 ἐξουσίαν. Καὶ γὰρ ἐν οἷς ἐδόκει παρεωρακέναι τι τῶν καθηκόντων, ἐμοὶ μὲν οὐκ ἐφαίνετο δι' ἑαυτὸν τοῦτο
5 πεποιηκέναι, διὰ δὲ τοὺς παρακειμένους φίλους. τοῦτο

Mummii integritas et indulgentia.

[c] Verba, quæ uncis inclusi, a Compilatore profecta esse adparet. [d] δὲ καὶ τιμᾶσθαι MS. καὶ delevit Vales.

esset. Quamobrem cum et antea semper hominem magnopere coluissent, tum vero ultimis illis temporibus singulæ urbes omni honorum genere [vivum et mortuum] cumularunt, omnia ejus acta communi adsensu comprobantes: idque jure optimo a se fieri omnes judicabant. Nisi enim ille hæc perfecisset, legesque ac formulas juris dicundi civitatibus scripsisset; ubique justitium, plenaque omnia turbarum et tumultus erant futura. Itaque pulcerrimum in omni vita id facinus Polybii fuisse haud dubium est.

*

XI. *Proconsul*, postquam concilium decem legatorum ex Achaia discessit, restaurato templo ac luco, qui in *Isthmo* est, ornatoque *Jovis Olympici* et Delphici Apollinis fano, postmodum singulas civitates obiit, ab omnibus et publice et privatim summis honoribus et convenienti grati animi significatione exceptus: idque sane jure optimo. Prorsus enim integer ac puris manibus in omnibus rebus versatus, summaque humanitate usus erat; tametsi maximam opportunitatem potestatemque animadvertendi in Græcos esset nactus. Nam sicubi etiam nonnullis in rebus visus est ab æquitate nonnihil recessisse; mihi quidem non ab ipso, sed ab amicis et comitibus id

Ol. 158. 3. δ' ἦν καταφανέστατον ἐν τοῖς [e]κατὰ τῶν Χαλκιδέων ἱππεῦσιν, οὓς ἀνεῖλεν.

II.
RES ÆGYPTI.

* * *

Ptolemæi Philometoris mors, XII. ΠΤΟΛΕΜΑΙΟΣ, ὁ τῆς Συρίας [[f]καὶ Αἰγύπτου] βασιλεὺς, κατὰ τὸν πόλεμον πληγεὶς ἐτελεύτησε τὸν βίον· κατὰ μέν τινας μεγάλων ἐπαίνων καὶ τιμῆς 2 et elogium. ὧν ἄξιος, κατὰ δέ τινας τοὐναντίον. Πρᾶος μὲν γὰρ 3 ἦν καὶ χρηστὸς, εἰ καί τις ἄλλος τῶν προγεγονότων βασιλέων. σημεῖον δὲ τούτου μέγιστον· ὃς πρῶτον μὲν 4 οὐδένα τῶν ἑαυτοῦ φίλων ἐπ' οὐδενὶ τῶν ἐγκλημάτων ἐπανείλετο· δοκῶ δὲ μηδὲ τῶν ἄλλων Ἀλεξανδρέων μηδένα δι' ἐκεῖνον ἀποθανεῖν. ἔπειτα, δόξας ἐκπεσεῖν 5 ἀπὸ τῆς ἀρχῆς ὑπὸ τἀδελφοῦ, τὸ μὲν πρῶτον, ἐν Ἀλεξανδρείᾳ λαβὼν κατ' αὐτοῦ [g]καιρὸν ὁμολογούμενον, ἀμνησικάκητον ἐποιήσατο τὴν ἁμαρτίαν· μετὰ δὲ ταῦτα 6 πάλιν ἐπιβουλεύσαντος τῇ Κύπρῳ, κύριος γενόμενος ἐν [h]Λαπήθῳ τοῦ σώματος ἅμα καὶ τῆς ψυχῆς αὐτοῦ, τοσοῦτον ἀπέσχε τοῦ κολάζειν ὡς ἐχθρὸν, ὥστε καὶ δωρεὰς προσέθηκε παρὰ τὰς πρότερον ὑπαρχούσας αὐτῷ κατὰ συνθήκας, καὶ τὴν θυγατέρα δώσειν ὑπέσχετο.

[e] Præpositionem deletam voluit Reisk. [f] Verba καὶ Αἰγύπτου desunt vulgo, ex conject. a nobis adjecta. [g] καιρὸν correxit Vales. καὶ τὸν MS. [h] Λαπήθῳ correxi. Ἀλπίθῳ MS. quod in Λαπίθῳ mutavit Valesius.

profectum esse videbatur. Quod quidem manifestissimum exstitit in *Chalcidensium equitum* cæde.

II.
(*Excerptum Valesianum.*)

* * *

XII. PTOLEMÆUS, *Syriæ* (*et Ægypti*) *rex*, prælio vulneratus, obiit: vir, ut quidam sentiunt, maxima laude et gloria dignus, quamvis alii secus existimant. Clemens enim et benignus, si quis umquam superiori memoria rex, certe hic fuit; cujus rei argumenta supersunt certissima. Qui primum quidem neminem ex amicorum numero ullam ob caussam occidit: ac, ni fallor, nullus nec ex reliquis Alexandrinis ab eo est interfectus. Deinde cum a fratre Alexandria expulsus esse videretur, primo Alexandriæ ulciscendi illius opportunitatem nactus, culpam ei condonavit. Postea vero cum idem rursus *Cyprum* occupare molitus esset, captum in urbe *Lapetho* tantum abfuit ut supplicio adficeret quasi hostem, ut potius præter munera, quæ ipsi antea ex pactione pendebat, alia rursus adjecerit, suamque ei filiam collocaturum promiserit.

7 Κατὰ μέντοί γε τὰς ἐπιτυχίας καὶ κατορθώσεις ἐξελύετο τῇ ψυχῇ, καί τις οἷον ἀσωτία καὶ ῥαθυμία περὶ αὐτὸν Αἰγυπτιακὴ συνέϐαινεν· καὶ κατὰ τὰς τοιαύτας διαθέσεις εἰς περιπετείας ἐνέπιπτεν. A. U. 609.

Verum enim vero rebus secundis lætisque successibus vigorem animi remittebat, et quædam quasi luxuria ac mollities Ægyptiaca in eo inerat: quam ob caussam sæpenumero in magnum discrimen est adductus.

SPICILEGIUM
RELIQUIARUM
EX CERTIS LIBRIS
HISTORIARUM POLYBII.

SPICILEGIUM
RELIQUIARUM
EX CERTIS LIBRIS
HISTORIARUM POLYBII.

EX LIBRO VI.

